Ὁ Ὕσταψις Ὠδαψὸς [2] ἱερεὺς λεγόμενος κοσμικὰ συνέταξεν ἀποτελέσματα, προσφωνεῖ δὲ τὸ βιβλιδάριον, † ᾧ ἀναφέρει, ἐν ᾧ διαλαμβάνει τοῦ Κρόνου ζῴδιον ἕκαστον τῶν ιβ' ἐπέχοντος καὶ καθ' ἑαυτὸν καὶ σὺν τοῖς ἄλλοις τέσσαρσιν τῶν πλανωμένων ἢ καθ' ἕνα ἢ κατὰ πλείους κιρναμένου καὶ συνεπιθεωρουμένου, τί ἐπισημαίνει, καὶ οὐχ ἁπλῶς καθ' ὅλον τὸ ζῴδιον, ἀλλὰ καθ' ἕκαστον τῶν ἐν αὐτῷ μερῶν τε καὶ μελῶν τῆς ἐποχῆς ἐξεταζομένης· λέγει δὲ καὶ ποῖαι χῶραι τίσι τῶν ζῳδίων ἀνάκεινται, καὶ τὰ τῶν ἀποτελεσμάτων εἴδη ἐκ τῆς τῶν μελῶν ἑκάστου ζῳδίου ἰδιότητος χαρακτηρίζει· ὅμοια μὲν οὖν ἐπαγγελλόμενός ἐστιν τοῖς ἄλλοις, οὔπω δὲ πείρᾳ δοκιμάσας ἔχω ἢ καὶ λογισμοῖς εὗρον εἰ καὶ ὁμοίως τοῖς ἄλλοις περὶ τὰς ὑποσχέσεις διαμαρτάνει.

1 διαφώρου. 2 ἀναδιδοῦντος. προειούσης. 4 παραδιδωμένης. 6 τίσει. 7 ἐφαιξῆς. 8 In marg. superiore f. 22v manus altera addidit rubro pigmento Ἐπανακεφαλαί(ωσις) Πτ<ο>λ<εμαίου>, quod ad p. 93, 1 seqq. pertinet. ὀδαψός. ἱερε͂' sic cod. 9 ᾧ ἀναφέρει vix sanum. Nomen latere videtur velut τῷ Ἀρταφέρνει? 10 ἐπέχων $\overset{o}{\pi}$ sic cod.; corr. Boudreaux. 11 πλανομένων. 12 κηρναμένου. 13 καθόλον. 14 ἐταζωμένης (*sic*). ποία χῶραι cod.: corr. Boudreaux. 15-16 τὰς τ. ἀ. ἤδει ἐκ τῆς τῶν βελῶν ... χαρακτηρίζειν cod.: corr. Boll et Boudreaux. 17 ἢ] εἰ. 18 εὗρον (*sic*)

[1] Similiter in *Geoponicis*, I, 12, Zoroastri tribuitur excerptum Δωδεκαετηρὶς τοῦ Διὸς καὶ ὅσα ἀποτελεῖ περιπολεύων τοὺς δώδεκα οἴκους τοῦ ζῳδιακοῦ κύκλου. Notabile est hi auctores a Sagittario id est ut videtur a solstitio hiemali annum incepisse. — Haec fuerunt, ut videtur, « Dodecaeterides »; cf. Boll, *Catal.*, II. p. 139; *Sphaera,* p. 326 ss.; Heeg, *Die angebl. Orphischen* Ἔργα καὶ ἡμέραι, p. 11 ss.

[2] Legendum esse puto Ὁ Ὑστάσπου Ὠδαψός. Libellus enim Odapsi ubi docebat (l. 9) ποῖαι χώραις τίσι τῶν ζῳδίων ἀνάκεινται, ab Hephaestione Thebano de chorographia, quae dicitur, astrologica agente laudatur (I, 1, p. 52, 14 et 57, 11 ed. Engelbrecht, cf. *Maximi et Ammonis rel.* ed. Ludwich, p. 114, 16, 24; 116, 14; 117, 1). Thebanus hic Odapsus fuit, si recte Waschmuthius textum mutilum Lydi, *De ostent.*, 2 (p. 6, 24) supplevit. — Sed et Hystaspes auctor librorum astrologicorum ferebatur; cf. Lydi, *De mens.*, II, 4 (p. 21, 1 Wünsch) : Οἱ περὶ Ζωροάστρην καὶ Ὑστάσπην Χαλδαῖοι ...; Amm. Marcell. XXIII, 6, 32 et *Monum. myst. de Mithra,* I, p. 33 n. — Chaldaeorum doctrinam Odapsum vel Hystaspem in hoc libello exposuisse inde apparet quod Saturno vim praecipuam tribuebat (v. 3 ss.); cf. Diodor. Sic. II, 30 : (Χαλδαῖοι) μεγίστην δέ φασιν εἶναι θεωρίαν καὶ δύναμιν περὶ τοὺς πέντε ἀστέρας τοὺς πλάνητας καλουμένους ... ἰδίᾳ δὲ τὸν ὑπὸ τῶν Ἑλλήνων Κρόνον ὀνομαζόμενον ἐπιφανέστατον δὲ καὶ πλεῖστα καὶ μέγιστα προσημαίνοντα ...

νδ'. Ἡ τῆς Τετραβίβλου Πτολεμαίου συγκεφαλαίωσις.

Αἱ μὲν οὖν ἀνακεφαλαιώσεις τῶν βιβλίων πρὸς ἀνάμνησιν τὸ χρήσιμον ἔχουσιν τοῖς γε περὶ τὰ λεγόμενα ἀποτελέσματα βουλομένοις λεσχηνεύειν· ἡ <δὲ> τοῦ Πτολεμαίου πρὸς Σύρον Τετράβιβλος οὐδ' ἀνακεφαλαιώσεως ὅλως δεῖται· οὕτω γὰρ δεῖ τοὺς περὶ τὴν εἰρημένην ὑπόθεσιν ἐπτοημένους περὶ ταύτην πονεῖσθαι τὴν βίβλον, ὥστε προχείρως ἔχειν χρῆσθαι τοῖς ἐν αὐτῇ κεφαλαίοις πᾶσιν καὶ χωρὶς διασκέψεως καὶ μηδ' ἀναμνήσεως ὅλως δεῖσθαι· καὶ γὰρ οὗτος τῶν τε πρὸ αὐτοῦ πάντων, Νεχεψώ, λέγω, καὶ Πετοσίρεως καὶ Ἑρμοῦ καὶ τῶν τοιούτων, ἀκριβέστερον τοῦ πολυασχόλου τούτου μαθήματος ἥψατο, καὶ τοῖς μετ' αὐτὸν τῆς τέχνης νόμος καὶ κανὼν πᾶσιν νομίζεται· πλὴν οὐδὲν κωλύει αὐτὰ τὰ κεφάλαια τῆς Τετραβίβλου παραθέσθαι, εἰ καὶ μηδὲν ἄλλο, ἀλλ' οὖν εἰς ἔνδειξιν τοῦ μὴ δόξαι τοῦτο ὅλως παραλιπεῖν τὸ ἐν τῇ μετ' αὐτὴν συνεξετάσει θεμέλιον ὥσπερ καὶ κρηπῖδα τῆς τέχνης αὐτῆς γεγενημένον.

Διαλαβὼν οὖν ὁ Πτολεμαῖος ἐν προοιμίῳ ὅτι δυνατὴ κατορθωθῆναι ἡ διὰ ἀστρονομίας πρόγνωσις καὶ ὅτι ὠφέλιμος, πρῶτον κεφάλαιον τίθεται περὶ τῆς τῶν πλανήτων δυνάμεως [1]· δεύτερον περὶ ἀγαθοποιῶν καὶ κακοποιῶν· τρίτον περὶ ἀρσενικῶν καὶ θηλυκῶν αὐτῶν τῶν πλανωμένων ἀστέρων· τέταρτον περὶ ἡμερινῶν καὶ νυκτερινῶν· πέμπτον περὶ τῆς δυνάμεως τῶν πρὸς τὸν Ἥλιον σχηματισμῶν· εἶτα ἕκτον περὶ τῆς ἀπλανῶν ἀστέρων δυνάμεως, ἣν καθ' ἕκαστον ἐνδείκνυσθαι τῶν μελῶν νομίζονται, δι' ἧς καὶ πρὸς τοὺς πλανωμένους συγγένεια ἀναφέρεται. ζ' [ἕκτον] περὶ τῶν δ' ὡρῶν διαλαμβάνει κατ' ἔτους τὴν δύναμιν αὐτῶν διερχόμενος καὶ περὶ τῶν τεσσάρων ὁμοίως τοῦ ὁρίζοντος τόπων, ἃ καὶ γώνιας ὀνομάζει· καλοῦνται δὲ ταῦτα κέντρα· μετὰ ταῦτα κεφάλαιον η' ποιεῖται περὶ τροπικῶν καὶ στερεῶν καὶ δισώμων ζῳδίων· θ' περὶ ἀρσενικῶν καὶ θηλυκῶν· ι' περὶ τῶν συσχηματιζομένων δωδεκατημορίων ἀλλήλοις· ια' περὶ προτασσόντων καὶ ἀκουόντων· ιβ' περὶ βλεπόντων καὶ ἰσοδυναμούντων· ιγ' περὶ ἀσυνδέτων· ιδ' περὶ οἴκων τῶν ζ' πλανωμένων· ιε' περὶ τριγώνων· ις' περὶ ὑψωμάτων αὐτῶν καὶ περὶ ὁρίων· ιζ' ὧν καὶ δόξας διαφόρους εἰσάγει δύο, ιη' μὲν κεφάλαιον τὰ κατ' Αἰγυπτίους ὅρια

3 τοῖς δὲ. 4 δὲ suppl. 5 περὶ] παρὰ. 6 περὶ] παρὰ. ὥστε corr. Boudeaux : ὅτε cod. 9 πετωσσύρεως. 11 τῆς] τοῖς. 12 ἢ καὶ cod. 13 δόξα τοῦτον ὅλως παραλυπεῖν ἐν τῇ τὸ cod.: corr. Boll. 15 αὐτῆς] αὐτοῖς. 20 πεύτον. 21 τῆς πρὸς cod. 23 μελλῶν. πλανόμενος συγγένια. 24 ζ' ἕκτον ζ' sic cod. sed ζ' alterum alia manu additum. 29-30 προττασόντων. 33 δύο] διό.

[1] Divisio capitulorum ab editionibus et codicibus quos quidem iam novimus differt. Vatic. gr. 1038 prooemium in tria capita dividit, deinde maximam partem cum excerptore consentit. [Boll.]

ἐντάσσει, ιθ' δὲ ὅσα εἰς τὴν αὐτοῦ ἀναφέρεται δόξαν· κ' περὶ τόπου ἑνὸς ἑκάστου τῶν ιβ' ζῳδίων καὶ περὶ μοίρας ὁμοίως, καὶ δὴ καὶ περὶ προσώπων καὶ λαμπηνῶν ἐν τῷ κ' διαλαμβάνει κεφαλαίῳ· περὶ συναφῶν δὲ καὶ ἀπορροιῶν, καὶ τῶν ἄλλων δυνάμεων ἐν τῷ κα'. — Τὸ μὲν οὖν α' αὐτοῦ βιβλίον τούτοις περιγράφεται τοῖς κεφαλαίοις.

Ἐν δὲ τῷ β' κατὰ τὸ προοίμιον διελὼν τὸ δι' ἀστρονομίας προγνωστικὸν εἰς δύο, περί τε τὰ καθολικά, φημί, ὃ καὶ καθολικὸν ἐτύμως καλεῖ, καὶ περὶ ἕκαστον τῶν ἀνθρώπων, ὃ γενεθλιαλογικὸν ὀνομάζει, προσήκειν φησὶν περὶ τῶν καθολικῶν πρότερον ὑπολαβεῖν, καὶ τίθησιν ἐφεξῆς κεφάλαιον β' περὶ τῶν καθ' ὅλα κλίματα ἰδιωμάτων· γ' περὶ τῆς τῶν χωρῶν πρὸς τὰ τρίγωνα καὶ τοὺς ἀστέρας συνοικειώσεως· δ' ἔφοδον εἰς τὰς κατὰ μέρος προτελέσεις εἰσάγει· ε' περὶ τῆς τῶν διατιθεμένων χωρῶν ἐπισκέψεως τὸν λόγον ποιεῖται· ς' περὶ χρόνου τῶν ἀποτελουμένων· ζ' περὶ τοῦ γένους τῶν διατιθεμένων· η' περὶ τῆς ποιότητος αὐτοῦ τοῦ ἀποτελέσματος· θ' περὶ τῶν κατὰ τὰς ἐκλείψεις ἐπιφαινομένων χρωμάτων, καὶ δὴ καὶ περὶ κομητῶν καὶ τῶν τοιούτων· ι' περὶ τῆς ἔτους νουμηνίας· ια' περὶ τῆς μερικῆς πρὸς τὰ καταστήματα φύσεως τῶν ζῳδίων· ιβ' περὶ τῆς ἐπὶ μέρους τῶν καταστημάτων ἐπισκέψεως· ιγ' περὶ τῆς τῶν μετεώρων σημειώσεως ἤτοι περὶ παρατηρήσεως τῶν περί τε Ἥλιον καὶ Σελήνην καὶ τοὺς ἀστέρας ἐπιφαινομένων χρωμάτων τε καὶ τῆς ἄλλης καταστάσεως. — Ταῦτα μὲν οὖν καὶ τὸ β' αὐτοῦ περιέχει βιβλίον, ἐν ᾧ καὶ ἡ περὶ τῶν καθολικῶν αὐτῷ ἀπαρτίζεται διδασκαλία.

Τὸ δὲ γ' ἀπάρχεται, α' περὶ σπορᾶς καὶ ἐκτροπῆς· β' περὶ μοίρας τῆς κατὰ τὴν ἐκτροπὴν ὡροσκοπούσης· γ' διαίρεσιν γενεθλιαλογικὴν ποιεῖται· δ' περὶ γονέων διαλαμβάνει· ε' περὶ ἀδελφῶν· ς' περὶ ἀρρενικῶν καὶ θηλυκῶν παίδων· ζ' περὶ διδυμογόνων· η' περὶ τεράτων· θ' περὶ ἀτρόφων· ι' περὶ χρόνων ζωῆς[1]· ια' περὶ μορφῆς καὶ κράσεως σωματικῆς· ιβ' περὶ σινῶν καὶ παθῶν σωμάτων· ιγ' περὶ ποιότητος ψυχῆς· ιδ' περὶ ψυχικῶν παθῶν. — Ἐν οἷς καὶ τὸ γ' βιβλίον.

Τὸ δὲ δ', α' περὶ τύχης πραγματεύεται κτητικῆς· β' περὶ τύχης ἀξιωματικῆς· γ' περὶ πράξεως ποσότητος· δ' περὶ συναρμογῶν ἀνδρῶν πρὸς γυναῖκας· ε' περὶ τέκνων· ς' περὶ φίλων καὶ ἐχθρῶν· ζ' περὶ ξενιτείας· η' περὶ τῆς τοῦ θανάτου ποιότητος· θ' περὶ χρόνου διαιρέσεως. — Ἐν οἷς καὶ τοῦ τετάρτου καὶ τῆς πραγματείας ὅλης τὸ τέλος.

3 κα' cod. : κ' corr. Boll. 6 προήμ(ιον). 6-7 προγνωσθηκόν. 7 φημή. ἐτοίμως. 10 κλίματα] ἔθνη habet Ptol. impressus, at Vatic. 1038 κλίματα [Boll]. 13 διατηθεμένων. 14 διατηθεμένων. 18 ἐπιμέρου. 21 In cod. Vatic. 1038 XIV capita numerantur [Boll]. 22 αὐτοῦ] αὐτω (*sic*). 33 ἐγχθρῶν. 35 τὸ τέταρτον.

[1] Quatuor capitula editionum ut in V comprehensa sunt. Lib. III in V capita habet XV; lib. IV in V' capita decem (prooemium sequuntur cetera novem) [Boll].

Ἡ μὲν οὖν τοῦ Πτολεμαίου Τετράβιβλος ταῦτα σπουδάζει· ὅτι δὲ οὐ πρὸς ἄλλο μᾶλλον ἢ ψεῦδος ἡ ἐπαγγελία τελευτᾷ, πολλοὶ μὲν καὶ καλοὶ λόγοι παλαιῶν εἰσιν ἀνδρῶν, καὶ αὐτὸς δὲ δι' ὧν τὸ ὠφέλιμον αὐτῆς ἔδοξε κατασκευάζειν, τοῖς γε νοῦν ἔχουσιν ἀφορμὴν ἔδωκε, καὶ ἔτι δι' ὧν θυσίαις καὶ ἱλασμοῖς πολλὰ τῶν μελλόντων φησὶν κακῶν ἀποτρέπεσθαι· καὶ τὸ ἰσχυρότερον καὶ ἄμαχον αὐτὴ ἡ πεῖρα πολλάκις διήλεγξεν.

Περὶ τοῦ Πτολεμαίου ἐν ποίῳ καιρῷ ἦν[1].

Οὗτος ὁ Πτολεμαῖος κατὰ τοὺς Ἀδριανοῦ μὲν ἤνθησε χρόνους, διήρκεσε δὲ καὶ μέχρι Μάρκου τοῦ Ἀντωνίνου, ἐν ᾧ χρόνῳ καὶ Γαληνὸς ἰατρικῇ διεφαίνετο καὶ Ἡρωδιανὸς ὁ γραμματικὸς καὶ Ἑρμογένης ὁ περὶ τέχνης γράψας ῥητορικῆς· πρῶτος δὲ παρ' Ἕλλησιν ὁ Χῖος Οἰνοπίδης τὰς ἀστρολογικὰς μεθόδους ἐξήνεγκεν εἰς γραφήν, ἐγνωρίζετο δὲ κατὰ τὰ τέλη τοῦ Πελοποννησιακοῦ πολέμου, καθ' ὃν καιρὸν καὶ Γοργίας ἦν ὁ ῥήτωρ καὶ Ζήνων ὁ Ἐλεάτης καὶ Ἡρόδοτος, ὥς ἔνιοί φασιν, ὁ ἱστορικὸς ὁ Ἁλικαρνασσεύς· μετὰ δὲ τὸν Οἰνοπίδην, Εὔδοξος ἐπὶ ἀστρολογίᾳ δόξαν ἤνεγκεν οὐ μικράν, συνακμάσας Πλάτωνι τῷ φιλοσόφῳ καὶ Κτησίᾳ τῷ Κνιδίῳ ἰατρικήν τε ἀσκοῦντι καὶ ἱστορίαν ἀναγράφοντι.

νε'. Ἀνακεφαλαίωσις τῆς Παύλου Εἰσαγωγῆς[2].

Ὅτι μὲν οὖν ἕκαστον τῶν ιβ' ζῳδίων ἔχει δεκανοὺς γ', μοίρας δὲ λ', ἡ δὲ μοῖρα λεπτὰ ξ', καὶ ὅτι Κριὸς ἀρχὴ τοῦ ζῳδιακοῦ κύκλου, τίνα τε ἀρσενικὰ λέγεται τῶν ζῳδίων καὶ τίνα θηλυκά, τίνα τε τροπικὰ καὶ τίνα στερεὰ καὶ τίνα δίσωμα, καὶ ποῖα ἰσημερινὰ καὶ ποῖα ἐαρινά, τίνα τε θερινά, καὶ ποῖα μετοπωρινά, ποῖα δὲ χειμερινά, ὁ Παῦλος ἐν τῇ Εἰσαγωγῇ παραδίδωσιν. ἔτι δὲ ποίων τῶν ζῳδίων τίνος τῶν πλανωμένων λέγεται οἶκος ἢ ὕψωμα ἢ ταπείνωμα, καὶ τίνος τῶν ἀνθρωπείων μελῶν κυριεύει τῶν ζῳδίων ἕκαστον, ἐν ποίῳ τε κλίματι κεῖται, καὶ ποίῳ ἀνέμῳ ἐπιμεμέρισται, πόσα τε καὶ τίνα τῶν ζῳδίων ἐστιν τρίγωνα καὶ ὅτι Κριὸς μὲν καὶ Λέων καὶ Τοξότης ἡμέρας μὲν Ἡλίου ἐστὶν τρίγωνον, νυκτὸς δὲ Διός, Ταῦρος καὶ Παρθένος καὶ Αἰγόκερως ἡμέρας μὲν τρίγωνον Ἀφροδίτης, νυκτὸς δὲ Σελήνης, Δίδυμοι δὲ καὶ Ζυγὸς καὶ Ὑδροχόος ἡμέρας

2 ἄλλον. 4 κατασκεβάζειν. 8 Titulum addidit manus altera rubro pigmento. πτολομαίου 9 ανδριανοῦ (*sic*). 17 εὔδοξως. ἀστρολογίας cod. 18 κτισεία. 20 In margine f. 224ᵛ manus altera addidit rubro pigmento Ἐπανακεφαλαίωσις Παύλου. 22 ἀρχή corr. ex Paulo : ἔχει cod. 27 μελλῶν.

[1] De hac vita cf. Lambecius, *Catal. codd. Vindob.*, VII, col. 138 et Boll, *Studien über Claudius Ptolemäus*, 1894, p. 53.

[2] Cf. Pauli Alexandrini Εἰσαγωγὴ ed. Schato, Witebergae, 1586.

μὲν Κρόνου τρίγωνον, νυκτὸς δὲ Ἑρμοῦ, καὶ Καρκίνος καὶ Σκορπίος καὶ Ἰχθύες ἡμέρας μὲν Ἀφροδίτης, νυκτὸς δὲ Ἄρεως· καὶ ποίῳ τῶν ἀνέμων ἕκαστον τῶν τριγώνων προσῳκείωται καὶ ποίᾳ προσπαθεῖ χώρᾳ ἕκαστον τῶν ζῳδίων καὶ ἐν πόσαις ὥραις ἕκαστον ἀναφέρεται ἐν τῷ κατὰ Ἀλεξάνδρειαν κλίματι καὶ τίνα ἑκάστου τῶν ε′ πλανωμένων ὅρια· Ἡλίου γὰρ καὶ Σελήνης ὡρισμένα ὅρια οὐκ ἔστιν· καὶ ὅτι ἐκ τῆς τῶν ὁρίων ἐπισκέψεως τὰ τῆς ζωῆς ἔτη θηρεύουσιν οἱ Αἰγύπτιοι· καὶ ὅτι οἱ δεκανοὶ πρόσωπα λέγονται τῶν ζ′ ἀστέρων· καὶ ὅτι πάλιν ἕκαστος τῶν ζ′ δεσπόζει τινὸς ἰδίας μοίρας τῶν ζῳδίων· τί τ' ἐστιν αἵρεσις καὶ τί δορυφορία· τίς τε ἡμερινή, τίς δὲ νυκτερινή, τίς δὲ ἑσπερία, καὶ ποῖα τῶν δ′ τεταρτημορίων ἀρσενικά, ποῖα δὲ θηλυκά, καὶ τίνα μὲν τούτων ἀνατολικὰ καὶ ἀπηλιωτικά, τίνα δὲ νότια καὶ μεσημβρινὰ καὶ ἁπλῶς τίνα πρὸς τίνας ἀνέμους ᾠκείωται, καὶ ποίας ἡλικίας ἐστὶν ἕκαστον τῶν δ′ τούτων δηλωτικόν. ἔτι μὴν διαλαμβάνει τίνα τῶν ζῳδίων λέγεται βλάπτειν ἄλληλα, καὶ ποῖα προστάσσειν, ποῖα δὲ ὑπακούειν, καὶ πρὸς τί τούτων ἕκαστον εὐθετεῖ, ἐκ τίνων τὲ ἡ τριγωνικὴ πλευρὰ συνέστηκεν, ἐκ τίνων δὲ ἡ τετραγωνικὴ καὶ ἡ ἑξαγωνικὴ ἐκ τίνων, καὶ δὴ καὶ ἡ διάμετρος ἐκ τίνων, τίνα δὲ δύναμιν τῶν εἰρημένων σχημάτων ἕκαστον ἔχει, καὶ ὅτι τὰ κατὰ μηδὲν τούτων ἐσχηματισμένα ζῴδια ἀπόστροφα καὶ ἀσύνδετα καλεῖται· καὶ τί δηλοῦσιν οἱ ἀστέρες ἐν αὐτοῖς τυχόντες, τίνα τε αὐτῶν τῶν ἀποστρόφων ὁμόζωνα καλεῖται, τίνα δὲ ἰσανάφορα καὶ τίνα συγγειτνιάζοντα καὶ ποῖα τούτων κατεπιδεξιώτατα λέγεται τετάχθαι καὶ τίνος τούτων ἕκαστον δυνάμεως μετέχει. καὶ ὅτι τῶν πλανωμένων Κρόνος καὶ Ζεὺς καὶ Ἄρης λέγονται περιπολεῖν, καὶ διὰ τί, πότε δὲ οἱ ε′ πλανώμενοι λέγονται ἑῷοι ἢ συνοδικοί, καὶ ὅτι αἱ πρὸς τὸν Ἥλιον δορυφορίαι αὐτῶν κατὰ τὰς προηγουμένας μοίρας καὶ τὰ προηγούμενα ζῴδια λέγονται· αἱ δὲ πρὸς τὴν Σελήνην δορυφορίαι ὅταν ἔν τε τῷ αὐτῷ ζῳδίῳ εὑρεθῶσιν καὶ ὅταν ἐν τοῖς ἑπομένοις· τί τέ ἐστιν στηριγμὸς καὶ τίς προσθετικὸς τοῖς ἀριθμοῖς, τίς δὲ ἀφαιρετικός, καὶ πῶς ὁ στηριγμὸς καὶ πότε γίνεται καὶ ποσάκις, πότε δὲ ἀκρόνυκτοι καὶ διὰ τί, καὶ τί δηλοῖ τούτων ἕκαστος τῶν σχηματισμῶν· καὶ ὅτι ια′ σχήματα τῆς Σελήνης, ἃ καὶ φάσεις καλεῖται, καὶ ὡς ἡ πανσέληνος καὶ πανσεληνιακὸς σύνδεσμος καλεῖται· τί τε λέγεται ἀπόκρουσις καὶ διὰ τί τούτων ἕκαστον τῶν τῆς Σελήνης σχημάτων τὴν ἐπικειμένην αὐτῷ ὀνομασίαν ἔλαχε τοιαύτην· τί τε ἔστιν ἀπόρροια καὶ συναφή, καὶ ὅτι ἐξ αὐτῶν ἡ τῶν ἀνέμων θηρεύεται πρόγνωσις· καὶ τὸ πολυχρόνιον δὲ καὶ ὀλιγοχρόνιον τῶν ἀνθρωπείων παθῶν καὶ τοῦ βίου ἐκ τοῦ περὶ ἀπορροίας καὶ συναφῆς θηρεύεται λόγου. ἔτι δὲ κατ' ἄλλην ἔννοιαν τί λέγεται πολεύειν τὸν αὐτὸν καὶ διέπειν καὶ τί λέγεται ἄλλον μὲν πολεύειν, ἄλλον δὲ τῶν ἀστέ-

3 προσοικείωται. 13 οἰκείωται. 17 ἕκτη cod.: ἑξαγωνικὴ corr. Boudreaux. 24 μετέχην. 28 αὐτό. 30 γίνεται] γάρ. 38 ἀπορίας.

ρων διέπειν· καὶ τίνων ἐστὶν δηλωτικά, καὶ ὅτι ὁ πολεύων καὶ διέπων αὐτὸς καὶ κύριος λέγεται τῆς ἡμέρας· καὶ ὅτι τῆς ἑπταζώνου τὴν α′ ζώνην Κρόνος ἐκληρώθη κατάψυχρον οὖσαν καὶ κειμένην ἐν τῷ πάγῳ· ὁ δὲ τοῦ Διὸς τὴν β′ εὔκρατον καὶ θρεπτικὴν οὖσαν καὶ ζῳογόνον· ὁ δὲ τοῦ Ἄρεως τὴν γ′ διάπυρον καὶ φθαρτικήν· ὁ δὲ τοῦ Ἡλίου τὴν δ′ καὶ μεσοτάτην διάπυρον καὶ ζῳογόνον οὖσαν· ἡ Ἀφροδίτη τὴν ε′ εὔδιον, ἣ καὶ σπορᾶς καὶ γονῆς ἐστιν αἰτία· ὁ Ἑρμῆς τὴν ς′ ὑγρὰν οὖσαν· ἡ Σελήνη τὴν ἑβδόμην καὶ αὐτὴν ὑγρὰν οὖσαν. ὅπως τε δεῖ λαβεῖν τῶν ζ′ ἀστέρων τὸ δωδεκατημόριον καὶ ἑκάστου τῶν δ′ κέντρων καὶ τοῦ κλήρου ἂν ἔχῃ μοῖ(ρα), καὶ τί τούτων ἕκαστον δηλοῖ. καὶ τίς μὲν ὁ τῆς τύχης κλῆρος καὶ πῶς θηρεύεται, τί δὲ ὁ τοῦ δαίμονος καὶ τοῦ ἔρωτος, τῆς τε τόλμης καὶ τῆς ἀνάγκης καὶ νίκης καὶ νεμέσεως· καὶ τίς ἡ βάσις καὶ τίνας ἐνεργείας ἐμφαίνει ἕκαστον τούτων. ἀλλὰ μὴν καὶ τίς κλῆρος πατρός, τίς δὲ μητρὸς καὶ ἀδελφῶν καὶ τέκνων καὶ γάμου καὶ πῶς καὶ τούτων καταλαμβάνεται ἕκαστος. περὶ τῆς τῶν δώδεκα τόπων πινακικῆς διασκέψεως καὶ ὡς ἀρχὴ μὲν τούτων ὁ ὡροσκόπος, ὃς καὶ οἴαξ καὶ βάσις καλεῖται· δευτερεύει δὲ ὁ λεγόμενος βίος, ὃς καὶ Ἅιδου πύλη καὶ ἀναφορὰ τοῦ ὡροσκόπου λέγεται· καὶ κατὰ τρίτην τάξιν ὁ λεγόμενος θεός, Σελήνης τε ὢν τόπος καὶ ἀγαθὸν καλούμενον ἀπόκλιμα· καὶ οἱ λοιποὶ ἐφεξῆς μέχρι τοῦ ιβ′· τίνα δὲ τάξιν ἔλαχον καὶ τί δηλοῦσιν ἕκαστος τούτων τοὺς ἀγαθοποιοὺς τῶν πλανήτων ἢ τοὺς κακοποιοὺς ὑποδεχόμενος. περί τε τέκνων εὑρίσκεται ἐπιθεωρία, ἐκ τίνων τε ἀστέρων ὁ περὶ πράξεως θηρεύεται λόγος καὶ τίνων τόπων περὶ τῶν ἀποκλιμάτων λεπτομερὴς ἐπιτήρησις· πότε καὶ ταῦτα χρηματιστικὰ γίνεται, καὶ ποῖα περί τε τοῦ λαβεῖν ἀπὸ χειρὸς ἀποχὴν Ἡλίου· καὶ περὶ τοῦ κατὰ τὴν γένεσιν λαμβανομένου ἐνιαυτοῦ καὶ μηνὸς καὶ ἡμέρας, ὅπως ἐκ τῆς ἐπιδιαιρέσεως αὐτῶν τῶν εἰς τὰ δωδεκατημόρια τὸν ζητούμενον ἐνιαυτὸν ἐν ποίῳ ζῳδίῳ ἐστὶν ῥᾴδιον εὑρεῖν, καὶ μὴν καὶ τὸν μῆνα ὁμοίως καὶ τὴν ἡμέραν· ὅπως τε δεῖ ὡροσκόπον ψηφίζειν, καὶ ὅπως μεσημβρία καὶ ὅπως ἡ κατὰ τρίγωνον μονομοιρία λαμβάνεται καὶ ὅτι ταύτην οἱ Αἰγύπτιοι ὡς χρησιμεύουσαν πρὸς τὴν ὡροσκόπου μερικὴν κατάληψιν ὑπεστήσαντο· καὶ ὡς ε′ δόξαι γεγόνασιν περὶ αὐτῆς. καὶ ὅτι ἐκτροπὴ λέγεται ἡ τῆς ἀποκυητικῆς ἡμέρας ὡροσκοποῦσα μοῖρα, καὶ μὴν καὶ περὶ κλιμακτήρων ποῖοι τούτων τὸ ἀπαράβατον ἔχουσιν καὶ ποῖοι ἐν τῷ μετρίῳ, ποῖοι δὲ καὶ διαλύονται. — Ταῦτα πάντα ὁ Παῦλος διέξεισιν οὐδενὸς τῶν ἄλλων χείρων, καὶ μὴν καὶ περὶ τοῦ τῆς Σελήνης συνδέσμου.

2 καὶ ὅτι] καὶ ὁ. Quae sequuntur v. 2-9 in Pauli editione desunt. 2 ζ′ ζώνου. 3 κατὰ ψυχρόν. 12 τοὺς δαίμονος cod. τολμημένης cod. 13 ἐμφαίνουσιν cod. 17 τούτων repet. 19 τρίτον. 20 λυποί. 22 υποδεχώμεναι (*sic*). 24 τῶν] το. 25 L. ποῖα <μέθοδος?> Boudreaux. 26 Leg. ἐποχήν? 33 ε′. Legendum γ′? (= τρεῖς) cf. Paulum, p. R2. 35 ποῖοι] ποιῆται. 36 πάντας. 37 χειρῶν cod.

νϛ'. <Δημητρίου> ἀστρολογουμένων.

Διαλαμβάνει μὲν οὖν ὁ Δημήτριος[1] οὗτος περὶ κεφαλαίων διαφόρων καὶ πρῶτον περὶ <τῶν> εἰς ὁμιλίαν τινὶ ἀφικομένων· ποιεῖται δὲ τὴν θήραν τοῦ μέλλοντος ἔκ τε τῆς των ζῳδίων φύσεως καὶ τῆς τῶν ἀστέρων πρὸς αὐτὰ σχέσεώς τε καὶ διαθέσεως. <β'> ἔτι δὲ περὶ πωλούντων καὶ ἀγοραζόντων. γ' περὶ αἰτούντων καὶ δ' περὶ γάμου. ε' περὶ δραπετευόντων. ϛ' περὶ πλεόντων καὶ ἀποδημούντων καὶ μὴν <καὶ> περὶ κριτηρίων· τὸ δὲ κριτήριον δηλονότι ἔκ τε κρίνοντος καὶ κατηγόρου καὶ ἀπολογουμένου συνίσταται. δίδωσιν οὖν ἀφορμὴν καταρχῆς εἰς τὸ καταλαβεῖν τίς ποτε ὁ κριτὴς ἔσται, ἀγαθὸς ἢ φαῦλος, καὶ τίς ὁ τὴν νίκην τῶν κρινομένων ἀποφερόμενος. καὶ περὶ ἀπαγωγῆς ἐκ βραχέων τίνα τεκμήρια τῆς κατοχῆς τοῦ ἀπαγομένου ἢ τῆς ἀπολύσεως τυχωσ<ιν?> ἢ διδωσ<ιν>. διαλαμβάνει δὲ καὶ περὶ διαθηκῶν καὶ περὶ ἀγορασμοῦ πάλιν καὶ περὶ κοινωνίας καὶ ἐν τούτοις συμπληροῖ τὴν πρόθεσιν.

1 Δημητρίου suppl. 2 δημιτρ(ιος) (*sic*). 3 εισομιλείαν (sine τῶν) τινὶ αφηκωμένων. 5 β' suppl. 7 καὶ add. Boudreaux. 8 κριτηριῶν. 8-9 κατόγόρου (*sic*). 11 καὶ τῆς. 12 τινῶν cod.: τίνα corr. Boudreaux. 12-13 απολλώσεως. 13 τύχωσ<ιν> ἢ cod.: <εἰ> τύχοι, coni. Boll. 14 συμπληρεῖ.

---

[1] Demetrius hic qui Ἀστρολογουμένων libellum scripsit, ignotus esse videtur. Sed cum a Palcho caput quintum περὶ δραπετευόντων servatum sit, saeculo V certe antiquior fuit (cf. *Catal.*, I, p. 56, cap. ξ', edit. p. 104-106 et *Catal.*, V, 1, p. 32). Exstat etiam caput sextum περὶ πλεόντων κ. τ. λ. in codice Paris. 2506 (nostro 9), f. 72, quod hic subiungere haud alienum videbitur:

Δημητρίου περὶ πλεόντων καὶ ἀποδημούντων.

Ἐὰν πλοῖον ἔοικε τῇ τῶν ζῳδίων θέσει καί ἐστι μὲν Κριὸς πρύμνα καὶ ὁ κυβερνήτης, ὁ δὲ Ζυγὸς πρῷρα, Ταῦρος τρόπις, Δίδυμοι πλευραί, Παρθένος κῶπαι, <Καρκίνος> πηδάλια διὰ τὰς χηλάς, Λέων αἱ σανίδες τοῦ πλοίου, ἤγουν τὸ φάρσωμα, Αἰγόκερως τὰ σχοινία, Σκορπίος ἄγκυρα διὰ τὰ κέντρα, Τοξότης ὁ ἱστός, Ὑδροχόος ἡ ἀντλία, Ἰχθύες αἱ πλωτίδες. οἱ μέντοι πλέοντες, Σελήνης οὔσης διχοτόμου Ὑδροχόῳ, ἀναγκασθήσονται μέτρῳ ὕδωρ λαβεῖν· εἰ δὲ τῆς Σελήνης θεωρηθείσης ὑπὸ Ἄρεως καὶ Ἑρμου πλεύσει τις, ὁ ἱστὸς καὶ τὰ πηδάλια τοῦ πλοιου κινδυνεύσει· Σελήνης μετὰ Ἄρεως ὡροσκοπούσης, οἱ πλέοντες ἀηδίαν ἕξουσι· καὶ μετὰ Κρόνου οὔσης ἢ ἐπιθεωρηθείσης, τὸ πλοῖον ἐγγὺς θινῶν γενόμενον ἢ τῆς γῆς ἐμποδισθήσεται· Κρόνου ὡροσκοποῦντος, ὁ πλέων ἐμπόδιον ἕξει· Σελήνης οὔσης Κριῷ, ὁ πλεύσας ἔσται ἐν παραδρομῇ, εἶτα ἐς ὕστερον ἀναχθήσεται· Σελήνης Καρκίνῳ, μαλακίαν ἕξει· Σελήνης Ἰχθύσι, χωρισθήσονται οἱ πλέοντες διὰ τὴν ἀηδίαν· Σελήνης Ὑδροχόῳ, ἐν τῷ πλοίῳ πολὺ ὕδωρ εἰσελεύσεται· δυνούσης δὲ αὐτῆς ὑπὸ αὐγὰς καὶ ὑπὸ Ἄρεως θεωρουμένης, ναυαγήσουσι· Σελήνης ὑπο Κρόνου τετραγωνιζομένης τοῦ Ἑρμοῦ ὄντος ἐν τῷ ἑτέρῳ τετραγώνῳ, ὁ ἐκδημῶν κριτηρίου ἕνεκεν ἢ μέμψεως τῆς πρὸς τοὺς κριτὰς ἢ δουλείας ἐμπόδιον ἕξει· Σελήνης σὺν Ἑρμῇ Δία τετραγωνιζούσης, ταχεῖαν [f. 72[v]] ἐκδημίαν δηλοῖ καὶ κτῆσιν ὑπερέχοντι φίλων·

3 Pro signum Virginis habet cod. ☾. 4 Καρκίνος om. cod. 5 φάρσωμα deest in lexicis. 6 πλωτίδες verbum ignotum. 15 αὐτὰς cod. 18 Leg. ὑπερεχόντων?

νζ'. Συγκεφαλαίωσις τοῦ πρὸς Ἱεροκλέα Θρασύλλου πίνακος[1].

Οὗτος διαλαμβάνει πρῶτον μὲν περὶ τῆς τῶν ζῳδίων φύσεως, ὅσα μικροῦ καὶ τοῖς ἄλλοις εἴωθε συνεξετάζεσθαι, οἷον ὅτι τὰ μὲν ἀνθρωποειδῆ, τὰ δὲ θηριόμορφα, καὶ τὰ μὲν ἀρσενικά, τὰ δὲ θηλυκά, καὶ τὰ μὲν ἰσημερινά, τὰ δὲ τροπικά· καὶ ὅτι αἱ τροπαὶ γίνονται οὐ περὶ πρώτην μοῖραν τοῦ ζῳδίου, ὥς τινες νομίζουσιν, ἀλλὰ περὶ η' καὶ ὅτι ἡ μοῖρα ἐστὶν σεληνιακὸν μέγεθος ἢ καὶ Ἡλίου περιφέρεια.

1-2 ϊερωκλέα θρασύλου πήνακος. 3 οὗτως.

Σελήνης οὔσης σὺν Ἑρμῇ Κρόνου διαμετροῦντος, ἐνέδρας παρὰ ἐχθρῶν καὶ ἐκδημίαν χρονίαν καὶ ἐμποδισμοὺς πολλοὺς καὶ νόσον μεγάλην καὶ διαβολήν· καὶ οὔσης σὺν Ἄρει ἐν Κριῷ Ἑρμοῦ ἐπιθεωροῦντος, σὺν ὅπλοις ἐπανελεύσονται οἱ ἐκδημήσαντες· ἐὰν οἱ ἀστέρες ἐν τῷ ἐκλειπτικῷ τόπῳ εἶεν ἢ ἀναποδίζωσιν ἢ ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου εἰσὶν ἢ ἐν ἀποκλίματι τοῦ μεσουρανήματος, μετὰ βίας ἐπανελεύσονται· Σελήνης οὔσης ἐν Διδύμοις Κρόνου ὄντος ἐν Τοξότῃ, τῶν ἐκδημησάντων τὰ κτήνη σινωθήσονται· εἰ δὲ ἐν Παρθένῳ εἴη ὁ Κρόνος, σώματος ἀσθένειαν καὶ βλάβην ἐν τοῖς πράγμασιν ἕξουσιν· Σελήνης οὔσης μετὰ Ἑρμοῦ καὶ Ἀφροδίτης ἐκ τριγώνου ἐπιθεωρούσης, παλινδρομήσειν ὑπὸ ἀνέμου σημαίνει καὶ τοὺς ναύτας ἀμφισβήτησιν ἔχειν περὶ μισθοῦ· Σελήνης οὔσης σὺν Κρόνῳ, οἱ πλεύσαντες ἢ ἐκδημήσαντες ζημιοῦνται καὶ χρονίζουσιν, ἐνίοτε δὲ καὶ ἐν ἀλλοδαπῇ μένουσιν· τοῖς δὲ τὰς μικρὰς ἀποδημίας ποιουμένοις, Σελήνη σὺν Ἄρει εἰ ἔστιν ἐν Τοξότῃ, ἐν ὁδῷ ὀχλήσεις καὶ τραύματα ἔσονται. ὡς δὲ ἐν κεφαλαίῳ εἰπεῖν, εἰ ἐκδημεῖ τις, βλεπέτω τὸν ὡροσκόπον, ὅς ἐστιν ἐκδημητικὸς τῶν ἐπὶ τῆς ἰδίας, τὸ δὲ δῦνον τῶν ἐπὶ τῆς ξένης, καὶ διαιρεῖν τὸ διάστημα τῆς ἐκδήμου· ἐὰν γὰρ ἀγαθοποιὸς βλέπῃ ἐν ἰδίοις τόποις, καλῶς πορευθήσονται· εἰ δὲ κακοποιός, ἐναντίως. τὰ δὲ τῆς ἐπανόδου γνώσῃ διελὼν τὸ διάστημα εἰς τὸ ζῴδιον τὸ ἀπὸ τοῦ δύνοντος μέχρι τοῦ ὡροσκόπου· καὶ τὴν Σελήνην δὲ βλέπε ὁμοίως· ἀπὸ γὰρ τῆς φάσεως μέχρι τῆς πανσελήνου τὰ τῆς ἐξόδου δηλοῦται, ἀπὸ δὲ πανσελήνου μέχρι συνόδου τὰ τῆς ἐπανόδου· τῆς Σελήνης οὔσης ἐν Κριῷ, συμφέρει κινεῖσθαι, ἐπεὶ τὸ ζῴδιον ὀξύ ἐστι καὶ ἐπιστροφῆς ἔχεται· Σελήνης οὔσης ἐν Ζυγῷ, ἀσύμφορον· καὶ εἰς πόλιν δέ τις ἐλθὼν ἐν .... κἂν πράξῃ διὰ τῶν ὑπερεχόντων, ταχέως τέθνηται.

1 περὶ ἐχθρῶν. 11 ζημιοῦται. 12 Σελήνη] καὶ. 13 κεφαλῇ. 14 Leg. ἐκδηλωτικός? τῶν] τόν. 15 legendum ἐκδημίας? 19 τὰ δὲ ἀπὸ cod.: ἀπὸ δὲ corr. Boudreaux. 21 ἔχεται vix sanum; cf. tamen, p. 112, 1. 22 lacuna VII litt.

---

[1] Recte titulus huius libri Θρασύλλου πρὸς Ἱεροκλέα πίναξ hic traditur non sicut ad calcem (p. 101, 31) Θρασυβούλου πρὸς Ἡρακλέα, nam Thrasybulus astrologus nusquam comparet, Thrasyllum autem mathematicum celeberrimum Tiberii imperatoris familiarem (Friedländer, *Sittengeschichte*, I[8], p. 133, 8), auctorem nominant Vettius Valens (p. 352, 24 Kroll), Porphyrius (*Isagog.*, p. 189; 195, 21. ed. 1559), Hephaestio Thebanus (*Catal.*, VI, p. 100, 11; VIII, 2, p. 49, n. 1) et alii; cf. Bouché-Leclercq, *Astr. gr.*, p. 541, n. 2, 554, 555, n. 4 passim. — In codice Bononiensi (cod. Ital. 18, f. 339[v]) Ἱρακλῆς (*sic*) ἀστρονόμος cum discipulo est depictus. Fortasse Ἱεροκλῆς corrigere licet, sed hic potius de Hercule, qui auctor sideralis scientiae ferebatur, cogitandum est.

Ἔτι δὲ περὶ τῶν ιβ′ ζῳδίων διαλαμβάνει[1] ὅτι τὰ μὲν ἡγεμονικά, τὰ δὲ λατρευτικά, καὶ τὰ μὲν τετράποδα, τὰ δὲ οὔ, καὶ τὰ μὲν στερεά, τὰ δὲ διφυῆ, τὰ μὲν δίσωμα, καὶ τὰ δὲ ἔφυδρα, τὰ δὲ χερσαῖα, τὰ δὲ ἀμφίβια, καὶ ἃ μὲν πολύσπερμα, ἃ δὲ πολύγονα, ἃ δὲ στεῖρα, ἃ δὲ σπαστικὰ καὶ ἄλλα αἰνιγματώδη, καὶ τὰ μὲν κυρτοειδῆ, τὰ δὲ δίχρωμα. καὶ ποίοις ἀνέμοις ἕκαστον τῶν ζῳδίων ἀπομεμέρισται, τίνα τε τούτων τίνος τῶν ζ′ ἀστέρων οἰκητήρια καὶ τίνα ὑψώματα καὶ λαμπῆναι καὶ βασιλεῖαι· τίνα τε τίνων ταπεινώματα. περί τε σχημάτων τῶν τε ἄλλων ἀστέρων καὶ τῆς Σελήνης καὶ ὅτι οἱ μὲν ἄλλοι γ′ φάσεις ποιοῦνται, ζ′ δὲ ἡ Σελήνη· καὶ ὅτι διττὸν ἐν τοῖς ἀστράσιν τὸ ἀνατέλλειν καὶ δύνειν, τὸ μὲν πρὸς τὸν κόσμον, τὸ δὲ πρὸς τὸν Ἥλιον καὶ ὡς ἐναντίαν κίνησιν οἱ πλανῆται κινοῦνται τῷ παντί, καὶ ὅτι καὶ κατὰ πλάτος καὶ βάθος τὴν κίνησιν παραλλάσσουσιν· καὶ ὅτι τρισσαὶ τῶν ἀστέρων αἱ ἀποκαταστάσεις καὶ ὅτι ἀποκατάστασις λέγεται ἡ ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον περίοδος. καὶ τί λέγεται ἀναποδισμὸς καὶ προποδισμὸς καὶ στηριγμὸς καὶ κρύψις, καὶ πῶς δυτικὸς καὶ ἑῷος γίνεται ἀστὴρ καὶ τί ἀκρόνυκτος φάσις· καὶ τὰ μὲν σχήματα μικροῦ ἐν τούτοις.

Διαλαμβάνει δὲ καὶ περὶ τῆς ἑπταζώνου κατὰ τὴν Πετοσίρεως καὶ Νεχεψώ, ὡς αὐτός φησιν, παράδοσιν. καὶ περὶ τῶν φύσεων τῶν πλανωμένων διαλαμβάνει· καὶ τίνες τίσιν τῶν ζῳδίων ἐξῳκείωνται· εἶτα καὶ ὡς Ἡλίῳ μὲν ἕπεται Κρόνος καὶ Ζεύς, Σελήνῃ δὲ Ἄρης καὶ Ἀφροδίτη, διὸ οἱ μὲν λέγονται τῆς αἱρέσεως Ἡλίου, οἱ δὲ τῆς Σελήνης, † ἀφὴν δὲ κοινὸς ὁ Ἑρμῆς[2]· καὶ ὡς κεκλήρωται καθ' ἑκάστην αἵρεσιν ὁ Ἥλιος μὲν τὰ ἀρσενικὰ τῶν ζῳδίων, Σελήνη δὲ τὰ θηλυκά, καὶ ὡς δύο κεκλήρωται ἡ Σελήνη τρίγωνα, τό τε τοῦ Ταύρου, φημί, καὶ τοῦ Καρκίνου· ὡς ἐν παραθήκης δὲ μέρει διαλαμβάνει περὶ τῆς κόσμου γενέσεως[3] καὶ τὸ θεμάτιον διαγράψας τῷ λόγῳ παραινεῖ πρὸς τὸν κανόνα τῆς τοῦ κόσμου γενέσεως καὶ τὴν καθ' ἕκαστον τῶν ἀνθρώπων γένεσιν ἐπισκοπεῖσθαι. λέγει δὲ καὶ περὶ τῶν κέντρων ὡς ὁ ὡροσκόπος καὶ ἀναφορὰ καὶ ἀνατέλλον καὶ χρηματίζον ζῴδιον λέγεται, δῦνον δὲ τὸ διαμετροῦν αὐτὸ καὶ μεσουράνημα τὸ προανηνεγμένον τοῦ ὡροσκόπου δεξιὸν τετράγωνον, τὸ δὲ λοιπὸν ἀντιμεσουράνημα, ὃ καὶ ὑπόγειον καλεῖται κέντρον καὶ εὐώνυμον τετράγωνον τοῦ ὡροσκόπου·

3 Leg. ἔνυδρα. 5 κυρτωιδῆ. 7 λαμπῆναι. Cf. Van Herwerden, ***Lexic. Suppl.*** s. v. 10 ἄστρισιν. 13 παραλάσοσιν. 16 δυττηκός. 19 πετοσείρεως. 20 παράδωσειν. 24 ἀφὴν corruptum. Fort. τὴν φύσιν κοινὸς ut Paulus, vel ἀμφοτέρων [Boll], cf. tamen infra p. 113, 21. 26-27 De domicilio Lunae in Cancro agi videtur. 32 πρωαναενεγμένον cod.

[1] Similia exponuntur *Catal.*, I, p. 164 s. Cf. IV, p. 156 ; V, p. 196.

[2] Cf. Paulum Alex., D3. De hac doctrina Aegyptiaca, cf. Cumont, *Théologie solaire* (Mém. présentés sav. Acad. Inscr., XII), 1909, p. 468 [22], n. 3.

[3] Cf. Paul. Alex., T2, et Bouché-Leclercq, *Astrol. gr.*, p. 185 ss.

καὶ ὡς ἀποκλίματά ἐστιν δ′ καὶ δ′ ἐπαναφερόμενα ὅμοια τοῖς κέντροις καὶ ὡς τοῦ μὲν ὡροσκόπου τὸ ἀπόκλιμα κακὸς δαίμων λέγεται, τὸ δὲ ἀπωτάτω τοῦ ἀποκλίματος διάμετρον κακὴ τύχη. εἶτα διαλαμβάνει καὶ ὡς ζωὴ μὲν τὸ ὡροσκοποῦν λέγεται ζῴδιον, βίος δὲ τὸ τούτῳ ἐπαναφερόμενον, τὸ τρίτον δὲ ἀδελφῶν ἐπέχει λόγον καὶ <τὸ> ὑπὸ γῆν γονέων, τέκνων δὲ τὸ τούτῳ ἐπαναφερόμενον, σίνους δὲ τὸ ἑπόμενον, γυναικὸς δὲ τὸ δῦνον, τὸ δὲ ἐπικαταφερόμενον τῷ δύνοντι κέντρῳ, ὄγδοον ἀπὸ τοῦ ὡροσκόπου τῇ τάξει τυγχάνον, τύχη καὶ θάνατος καλεῖται. ταῦτα εἰπὼν καὶ ὡς οἷόν τε ἦν αὐτῷ κανονίσας καὶ τὴν ἐπίσκεψιν τοῦ θεματίου καταβάλλεται· ἐν οἷς καὶ περὶ χρόνων ζωῆς διαλαμβάνει, τίνες αὐτοὺς καὶ ὅπως ἐπιμερίζουσιν, καὶ περὶ βίου ὅπως ἕξει, καὶ περὶ τῶν ὑπολοίπων ἐξ κεφαλαίων, ἀδελφῶν, φημί, καὶ γονέων καὶ τέκνων καὶ σινῶν καὶ τύχης· ἐν οἷς καὶ τὰ περὶ ἐπιδεκατίας καταστάσεως, καὶ ὅσα ἐπιδεκατεύοντες ἀλλήλοις οἱ ἀστέρες ἀποδηλοῦσιν.

Διαλαμβάνει δὲ καὶ καθ' ὃν τρόπον ὁ λεγόμενος Τρισμέγιστος Ἑρμῆς[1] ἕκαστον δωδεκατημόριον τοῦ διαθέματος ἠξίου καλεῖν τε καὶ νομίζειν, οἷον τὸν μὲν ὡροσκόπον οἴακα καὶ τύχης καὶ ψυχῆς καὶ τρόπου ζωῆς δηλωτικὸν ἀποφαίνων, ἔτι δὲ τὸν αὐτὸν καὶ ἀδελφῶν εἶναι δηλωτικόν· τὴν δὲ ἐπαναφορὰν ἐλπίδων σημαντικήν· πράξεως δὲ τὸ γ′, ἀλλὰ καὶ ἀδελφῶν δηλωτικόν· τὸ δὲ δ′ θεμέλιον ἐκάλει εὐδαιμονίας τε καὶ πατρικῶν ὑπαρχόντων καὶ δούλων κτήσεως δηλωτικόν· τὸ δὲ ε′ ἀγαθὴν ἐκάλει τύχην· τὸ μέντοι ς′ <κακο>δαιμονίας καὶ ποινῆς καὶ σίνους δηλωτικόν· τὸ δὲ ζ′ δυτικὸν τόπον καὶ θανάτου καὶ γυναικὸς δηλωτικόν· τὸ δὲ η′ ζωὴν καὶ βίον ἐκάλει· τὸ θ′ ἐκδημιῶν τε καὶ τῆς ἐπὶ ξένης διαγωγῆς δηλωτικόν· τὸ ι′ δέ, ὃ καὶ μεσουράνημά ἐστιν, τύχην ἔλεγεν καὶ βίον καὶ ζωὴν δηλοῦν τέκνων τε σπορὰν καὶ πράξεις καὶ τιμὰς καὶ ἀρχὰς καὶ ἡγεμονίας· τὸ δὲ ια′ ἐν τῷ διαθέματι ζῴδιον ἀγαθὸν ἐκάλει δαίμονα, τὸ ιβ′ δὲ προαναφορὰν καὶ κακὸν δαίμονα, δηλωτικὸν δὲ εἶναι καὶ βίου <καὶ> δούλων ὑποταγῆς. — Ταῦτα μὲν καὶ ὁ Θρασυβούλου (lege Θρασύλλου) πρὸς Ἡρακλέα (lege Ἱεροκλέα) πίναξ.

2 ὡς τοῦ] ὁστο. 5 τὸ suppl. Boudreaux, 8 τυγχάνων. 12 υπολύπων. 14 καταστάσει. 15 τριμέγιστος. 19 ἀδελφόν. 22 τε] δέ. 23 μέντι. κακοδαιμονίας corr.: δαίμ(ονι)αν cod. 23-24 πίνης καὶ σινοὺς cod. 26 Leg. ἐπιξένου? 30 καὶ suppl.

[1] Cf. Paul. Alex., L2 sqq. Hoc opusculum Hermetis Trismegisti in codicibus nonnullis servatur (*Catal.*, II, p. 38, cod. Venet. 7, f. 28 ; VII, p. 74, cod. Erlang. 34, f. 159) et in tomo primo huius Catalogi codicum Parisinorum edetur.

νη'. Κριτοδήμου συγκεφαλαίωσις [1].

α'. Περὶ παραδόσεως Ἡλίου διέξεισιν, ὅπως παραδίδωσιν τοῖς λοιποῖς πλανωμένοις ἕξ, καὶ τί σημαίνει ἑκάστῳ αὐτῶν παραδιδούς. — β'. διαλαμβάνει περὶ ἐπιμερισμοῦ· τί σημαίνει Ἥλιος ἑαυτῷ ἐπιμερίσας καὶ τίσι τῶν ἄλλων συσχηματισθείς, ἥ τε Σελήνη ἑαυτῇ ἐπιμερίσασα καὶ τοῖς λοιποῖς ἕξ. — γ'. τί δηλοῖ Κρόνος ἑαυτῷ ἐπιμερίζων καὶ τί ἑκάστῳ τῶν ἕξ. — δ'. ὁ τοῦ Διὸς ἑαυτῷ ἐπιμερίζων τί σημαίνει καὶ τί τῶν λοιπῶν πλανωμένων ἑκάστῳ μερίδα διδούς. — ε'. Ἄρης ἑαυτῷ ἐπιμερίζων τί δηλοῖ καὶ τί τῶν ἄλλων ἑκάστῳ τοὺς ἐπιμερισμοὺς διατιθείς· ὡσαύτως δὲ καὶ Ἀφροδίτη καὶ Ἑρμῆς ἑαυτοῖς τε ἐπιμερίζοντες καὶ τοῖς ἄλλοις πλανωμένοις τί ποτε ἀποσημαίνουσιν. — εἶτα διαλαμβάνει περὶ παραδόσεως ἀστέρων τὴν ἀρχὴν ἀπὸ Κρόνου καταβαλλόμενος, τί ποτε ἀποσημαίνει ἑαυτῷ παραδιδοὺς καὶ τί τῶν ἄλλων ἑκάστῳ· εἶτα Διὸς παράδοσις παραπλησίως· καταλήγει Ἡλίῳ τε καὶ Ἀφροδίτῃ καὶ Σελήνῃ. — Ἐν οἷς καὶ ἡ Κριτοδήμου συγκεκεφαλαίωται σπουδή· γέγονε δὲ ὁ Κριτόδημος οὗτος [2]...

νθ'. Τῶν Καλλικράτους Τιμογένει γεγραμμένων ἀστρολογικῶν σπουδασμάτων συγκεφαλαίωσις· ἐπιγράφεται δὲ ὁ λόγος « Καλλικράτους θησαυρός » [3].

Ἐπαγγέλλεται δὲ τά τε τῆς Σελήνης καὶ τῶν λοιπῶν πλανωμένων ἕξ συναγαγεῖν ἐκ τῶν τοῖς παλαιοῖς εἰρημένων ἀποτελέσματα. ἄρχεται μὲν οὖν ἀπὸ Σελήνης τὰς σχέσεις καὶ συμπαθείας αὐτῆς καὶ τὰ σχήματα τά τε πρὸς τοὺς ἄλλους πλανωμένους ἀπαριθμῶν καὶ ὅσα αὐτὴ τοῖς ζῳδίοις ἐπέχουσα σχήματά τε καὶ διαθέσεις ἀναδέχεται καὶ φάσεις

1 Κριτοδήμου συγκεφαλαίωσις corr. ex fine (v. 15). In cod. : ὅσα ἴδαμεν συγκεφαλαίωσεις (*sic*). 3 λυποῖς. 14 παραδώσεις. 15 συγκεφαλαίωτε. 16 γέγωνε. 19 In margine al. m. *Thesaurus Callicrati*. 23 τά] τοῦς.

---

[1] Vettius Valens multa ex Critodemi libris se excerpsisse fatetur (cf. p. 374 ed Kroll); plura ex eodem fonte eum hausisse ex hoc summario apparet, nam quae hic enumerantur usque ad v. 12 capita sunt ιζ'-κδ' libri IV *Anthologiarum* (p. 189-200 ed. Kroll). Sequentia omisit Valens aut librarius. — Critodemi libri duo nominantur quorum tituli erant Ὅρασις (Vett. Val, p. 150, 11; 329, 20 Kroll) et Πίναξ (Hephaest. in *Catal.*, VIII, 2, p. 64, 24 in adnot.). Non opera integra sed fragmentum tantum legisse videtur epitomator.

[2] Post οὗτος quae de aetate scriptoris addere volebat epitomator (cf. p. 111, 2 de Antiocho), omisit, cum ipse eius ignarus esset; itaque sententiam inabsolutam reliquit. Item infra de Barbillo (p. 104. 27) et de Callicrate, ut videtur (p. 103, 9), quaedam adicere voluit sed non adiecit.

[3] Callicrates astrologus ignotus esse videtur, nec usquam alibi de eius *Thesauro* fit mentio.

καὶ τίνα δι' ἑκάστων τούτων δηλοῦται· ἐπιδεκατευομένη δὲ αὐτὴ ὑπ' αὐτῶν καὶ διαμετρουμένη καὶ κατὰ τὰς ἄλλας διαθέσεις ποικιλωμένη καὶ συνδιεζωσμένη τούτων ἑνὶ ἢ καὶ πλείοσιν τί ἀποσημαίνει. κατὰ τὴν αὐτὴν δὲ μέθοδον καὶ σπουδὴν περὶ τῶν τοῦ Ἡλίου ἀποτελεσμάτων διαλαμβάνει. εἶτα περὶ τῶν τοῦ Κρόνου, ἑξῆς περὶ τῶν τοῦ Ἄρεως, μετὰ ταῦτα περὶ τῶν τοῦ Διός, ἐπὶ τούτοις περὶ τῶν τῆς Ἀφροδίτης καὶ τελευταῖον περὶ τῶν τοῦ Ἑρμοῦ ἀποτελεσμάτων. — Ἐν οἷς καὶ τῆς τοῦ Καλλικράτους συναγωγῆς, ἣν ἐκ τῶν παλαιῶν ἤθροισεν, συγκεφαλαίωσις. οὕτως οὖν ὁ Καλλικράτης.

[F. 229.] ξ'. Συγκεφαλαίωσις τῶν Βαρβίλλῳ πρὸς Ἑρμογένην ἀστρολογουμένων [1].

Πρῶτον μὲν διέξεισι περὶ τῶν τῆς ζωῆς χρόνων, ἀρχόμενος τῆς σκέψεως ἀπὸ τῶν ἀφετῶν· ἀφέτας δὲ δ' λέγει, Κρόνον, Ἄρεα, Ἥλιον, Σελήνην· λαμβάνει δὲ κύριον ἀφέτην τὸν ἐπὶ τοῦ μεσουρανήματος, μηδενὸς δὲ παρόντος ἐν αὐτῷ ἀπὸ τοῦ ὡροσκοποῦντος λαμβάνει τὸν ἀφέτην ἢ τοῦ δύνοντος ἢ τοῦ ὑπογείου. ἐὰν δὲ τὰ δ' κατέχουσιν ἀστέρες, ἐκεῖνος λογίζεται τότε μόνος ἀφέτης ὁ ἐπὶ τοῦ μεσουρανήματος. καὶ ἀναιρέτης δὲ τῶν ἀφετῶν ἐκεῖνος κρίνεται ὃς αὐτῶν α' κατὰ μοῖ<ραν?> τύχῃ· εἶτα φησὶν ὅτιπερ ἐὰν ἀπαντήσῃ τῷ ἀφέτῃ ἀναιρέτης,

1 δι'] δεῖ. επαδεκατευωμένη. 2 πικοιλωμένη. 3 συνδιαζωμένη. 4 τὸν τοῦ. 6 τὸν τῆς. 7 τῶν] τὸν. 8 ἤθρυσεν. 9 Leg fort. οὗτος, cf. p. 102, n. 2. καλικράτης. 10 Ἐπανακεφαλαίωσις in margine superiore manu altera rubro pigmento. βαρβήλω. ερμωγένην. 12 τὸν ... χρόν(ον). 17 μόνος dubium in codice. 17-18 μεσορανήματος. 18 α' non capio. Videtur dicere velle proximus [Boll]. Fortasse ὃς ἂν αὐτῶν. 19 τύχει. τῷ] το.

---

[1] Barbillus, Ephesius astrologus, summa auctoritate apud Neronem Vespasianumque valuit (Friedländer. *Sittengeschichte*, I[8], p. 133 s.; Bouché-Leclercq, *Astrol. gr.*, p. 555-6; Klebs, *Prosopogr. Rom.*, I, p. 228, n° 41). Scripta eius deperdita sunt omnia, nisi quod fragmentum a Palcho servatum est (*Catal.*, V, 1, p. 33) et in syntagmate quoque codicis Paris. 2506 (nostri 9) f. 80 invenitur, nomine eius ubique corrupto. In Palchi enim codice Angelicano legitur : Ὅσα εὗρον χρειώδη ἐν τοῖς Βραβίλοις, in cod. Paris. 2425, f. 165v : Ὅσα εὕρων χριώδει ἐν τοῖς Βαβύλου, in cod. Parisino 2506, f. 80 = 2424, f. 90 : Μέθοδος περὶ χρόνων ζωῆς ἐκ τοῦ ἀφέτου καὶ ἀναιρέτου Βραβ(ίλου). Ex codice Paris. 2506 initium hic subiungimus loci quem ex primo capitulo libri Barbilli ad Hermogenem excerptum esse, collato summario (p. 103, 14 ss.), nunc apparet : Τὸ πρῶτον ἀναφερόμενον τοῦ ἀφέτου ζῴδιον ἀναιρετικὸν καλεῖται· ἐὰν οὖν ἐν αὐτῷ εὑρεθῇ ἀναιρέτης, κἂν τὰ μάλιστα θεωρηθῇ ὑπὸ ἀγαθοποιοῦ πάντως ἀναιρεῖ· ἐὰν γὰρ ἐν ἄλλῳ ζῳδίῳ εὑρεθῇ ὁ ἀναιρέτης εἷς μὲν ὅτι (?) κατὰ σχῆμα ἢ ἐπαναφοράν, ἡ μὲν Ἀφροδίτη εἴσω η' μοιρῶν, ὁ δὲ Ζεὺς εἴσω ιβ', ἑνωμένοι τῷ ἀναιρετικῷ κωλύουσι τὸν κλιμακτῆρα. τὸν δὲ Ἄρεα ἀναιρέτην ὄντα εἷς καὶ μόνος οὐκ ἂν ἀναλύῃ· ἀλλὰ δύο ὁ δὲ Ζεὺς καὶ ἡ Ἀφροδίτη ἐπίκοινοι ὄντες κ. τ. λ. — Barbillus, qui in libro suo de stellis mortem minantibus disserebat, ipsi Neroni formidinem de exitu eius iniecit (Suet., *Ner.*, 3, 6).

σκέπτηται δὲ ὑπὸ ἀκτῖνος ἀγαθοποιοῦ, οὐκ ἀναιρεῖ ὁ ἀναιρέτης, πλὴν ἐὰν μὴ εὑρεθῇ ἀναιρετικὸν ζῴδιον· τοῦτο δέ ἐστιν τοῦ προανηνεγμένου τοῦ ἀφέτου καὶ τὸ αὐτοῦ τετράγωνον.

β′. Διέξεισι δὲ καὶ ὡς Ζεὺς μὲν καὶ Ἀφροδίτη τῶν ἀγαθῶν, Ἑρμῆς δὲ ἐπίκοινος, καὶ ἄλλα τινὰ σύστοιχα περὶ ἀφέτου καὶ ἀναιρέτου διαπραγματεύεται. καθ' ἣν μέθοδον τὸν περὶ χρόνων ζωῆς <λόγον> ἐπισκέπτεσθαι προστάσσει, ἐν οἷς καὶ τὴν Σελήνην παρατηρεῖσθαι θεωροῦσαν τὸν ἀφέτην· δυναμικώτερον γὰρ αὐτόν φησιν τότε γίνεσθαι· καὶ ὡς ἂν δύο ἀναίρεται ὦσιν, θεωρηθῇ δὲ ἕτερος αὐτῶν ὑπὸ τῆς Σελήνης, δυναμικώτερον ἔσεσθαι τοῦτο πρὸς τὸ ἀνελεῖν· καὶ περὶ τοῦ Ἑρμοῦ δὲ τὴν ὁμοίαν σκέψιν καταβάλλεται· καὶ περὶ ἀκτινοβολίας δὲ κανονίζει τιθεὶς τῶν εἰρημένων καὶ ὑποδείγματα.

γ′. Ἔπειτα διέξεισι καὶ περὶ δωδεκατημορίων διαγνώσεως.

δ′. Μεθοδεύει δὲ καὶ περὶ ἐξαλμάτων λέγων οὕτως· « Τὰς ἀναφορὰς ἑκάστου ζῳδίου δίπλωσον καὶ ποίησον παρὰ τὸν πέμπτον. καὶ ἐὰν μὲν καταλείπῃ α′ ἡμέρα, θὲς ἀντὶ τῆς μιᾶς ι′· ἐὰν δὲ β′, κ′· οἷον <εἰ> Δίδυμοι ἀνατέλλουσι κη′, δὶς δὲ κη′, νς′· ταῦτα παρὰ τῶν ε′ μέριζε ἐνδεκάκις πέντε, γίνεται νε′, λοιπὸν α′, ἥ ἐστιν τῶν ι′· εἰ δὲ β′ ὑπελείποντο, κ′ ἂν ἦσαν καὶ ἑξῆς ὁμοίως. »

ε′. Ἔτι περὶ τελευτῆς διαλαμβάνει γονέων, ὅπως εἰς πρόγνωσιν πεσεῖται καὶ περὶ διαστάσεως ἀλλήλων, καὶ πολυτεκνίας καὶ ὀλιγοτεκνίας, ἐλευθερίας τε δούλων καὶ σπορᾶς τέκνων, ἐκπτώσεώς τε καὶ ξενιτείας καὶ † διαγενείας καὶ τῶν τούτοις παραπλησίων· παραδίδωσι δὲ καὶ διαφόρους μεθόδους εὑρέσεως ὡροσκόπου καὶ μὴν καὶ καταλήψεως τῶν ἀστέρων ἀναλύσεως ἄνευ.

Ταῦτα καὶ τὰ τοῦ Βαρβίλλου κεφάλαια ὧν ἡμεῖς εἴδομεν αὐτοῦ ἀστρολογούντων γραμμάτων· γέγονε δὲ ὁ Βάρβιλλος...

ξα′. Συγκεφαλαίωσις τῶν Ἀντιόχου θησαυρῶν οἵτινες ἐπιλύσεις καὶ διηγήσεις τῆς ἀστρονομικῆς ἐπαγγέλλονται τέχνης[1].

Ἀποδίδωσιν οὖν πρῶτον αἰτίαν διὰ τί κύκλον πληρούντων τῶν ζῳδίων ἀπὸ Κριοῦ τὴν ἀρχὴν ποιεῖται καὶ μὴ ἀπὸ Καρκίνου μᾶλλον ἢ

2 Leg. τὸ προανηνεγμένον? 5 εποικινος. σύστυχα. 6 λόγον suppl. Boudreaux. 8 θεωροῦσα cod. 12 κανονίζειν. 15 πεύτον. ε′. 17 δύδημοι (sine εἰ). 18 ἐνδεκάκι. λοιπῶν 19 ὑπολοίποντο. 22 ἐλευθερίας τὲ σπορᾶς καὶ δουλῆς. 23 διαγενεῖας sic cod. Fort. διαγγελίας. 24-25 καταλύψεως. 25 ἀναδήσεως. 26 βαρβύλου, ἴδωμεν. 27 γέγωνε] cf. supra p. 102, n. 2. βάρβυλος. 28 αντυόχου. ἤτινες. 29 διητήσοις. 1. ἐπίλυσις καὶ διήγησις? cf. *Catal.*, I, p. 142. 31 κύκλων.

[1] De Antiochi *Thesauris*, quos Rhetorius diripuit, cf. Boll, *Catal.*, I, p. 140 ss., VII, p. 107 ss.; *Sitzungsb. der Heidelberger Akademie*, 1910, 16 Abh. (*Das Kalendarium des Antiochos*, p. 7 sqq.). Idem edidit capita quae summarium enumerat α′-νγ′ (p. 104, 31 - 108, 19) in *Catal.*, I, p. 145-164. Reliquorum nonnulla, quae in adnotationibus indicamus, edidit in *Catal.*, VII, p. 107-127.

ἀπὸ Λέοντος καὶ ἀποδίδωσιν αἰτίας β′· λέγει δὲ καὶ τίνα τροπικὰ ζῴδια καὶ τίνα στερεὰ καὶ τίνα δίσωμα· ποῖον δὲ τεταρτημόριον τῶν ιβ′ ζῳδίων ἀναλογεῖ τῷ ἀέρι, ποῖόν τε τῷ πυρὶ καὶ ποῖον τῇ γῇ καὶ τῷ ὕδατι ποῖον.

β′ κεφάλαιον περὶ ἀρρενικῶν καὶ θηλυκῶν καταβάλλεται ζῳδίων καὶ περὶ πλανήτων, ὅτι Ἥλιος μὲν καὶ Κρόνος καὶ Ζεὺς καὶ Ἄρης καὶ Ἑρμῆς τῶν ἀρρένων, Σελήνη δὲ καὶ Ἀφροδίτη τῶν θηλέων, καὶ ὅτι ἀρσενικοὶ μὲν τόποι εἰσὶν ἀπὸ τοῦ μεσουρανήματος ἕως τοῦ ὡροσκόπου καὶ ἀπὸ τοῦ ὑπὸ γῆν ἕως τοῦ δυτικοῦ κέντρου, θηλυκοὶ δὲ οἱ λοιποὶ δύο, οἵ τε ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ ὑπὸ γῆν καὶ ἀπὸ τοῦ δύνοντος ἕως τοῦ μεσουρανήματος. πότε οἱ λεγόμενοι ἀρσενικοὶ ἀστέρες θηλύνονται καὶ πῶς πάλιν ἀρρενοῦνται καὶ ὅτι κατὰ γ′ τρόπους, οἷον ἀπό τε τῶν φωστήρων καὶ ἀπὸ τῶν ζῳδίων ἐν οἷς γίνονται καὶ ἀπὸ τῶν τεταρτημορίων, καὶ τί σημαίνουσιν καὶ τίνες ἀστέρες ἐγκάρδιοι λέγονται, οἷον ὅτι οἱ συνοδεύοντες ἰσομοίρως τῷ Ἡλίῳ ἢ περὶ μοίρας ἢ παρὰ μοίρας, ὃ τῶν ἀρχαίων μὲν οὐδενὶ εἰς μνήμην ἦλθεν, Πτολεμαῖος δὲ συνοδικὴν εἰπὼν τὴν φάσιν τὴν ἐνέργειαν αὐτῆς οὐκ εἶπεν.

γ′. Περὶ τῆς τῶν ἀστέρων αἱρέσεως καὶ ὡς ἐπίκοινος μέν ἐστιν ὁ Ἑρμῆς, ἀγαθὸς μὲν μετὰ τῶν ἀγαθῶν, μετὰ τῶν φαύλων δὲ πάλιν ὁμοίως, καὶ ὡς ἐπί τινων γενέσεων οἱ νομιζόμενοι κακοὶ παρὰ τὴν φύσιν καὶ τὸν τόπον καὶ τὴν αἵρεσιν λαμπρύνουσιν τὰς τύχας, ὥσπερ καὶ τὸ ἀνάπαλιν οἱ ἀγαθοὶ κακύνουσιν.

δ′. Περὶ τῆς τῶν ιβ′ ζῳδίων κράσεως.

ε′. Τίνα τούτων λεπρώδη καὶ ἀλφώδη καὶ ψωροποιὰ ἢ λειχηνώδη.

ς′. Περὶ ἀσελγῶν ζῳδίων.

ζ′. Περὶ σινούντων τοὺς ὀφθαλμούς.

η′. Τίνος ἕνεκεν ἐνίων ἀστέρων ὑψώματα, ἐνίων τὰ αὐτὰ γίνεται ταπεινώματα, καὶ διὰ τί ἔνθα ταπεινοῦται ἡ Σελήνη, ἐκεῖ οὐδεὶς ὑψοῦται, οὔτε μὴν ἔνθα ὑψοῦται, οὐδεὶς ταπεινοῦται.

θ′. Διὰ τί ἐναντιοῦνταί τινων ἀστέρων οἱ οἶκοι ἑτέρων οἴκοις ἀστέρων.

ι′. Περὶ τῆς τῶν τριγωνικῶν δεσποτῶν αἱρέσεως.

ια′. Περὶ τῶν λς′ δεκανῶν καὶ περὶ τῶν λεγομένων προσώπων τῶν ζ′ ἀστέρων καὶ τί σημαίνουσιν.

ιβ′. Περὶ τῶν παρανατελλόντων ἀπλανῶν λαμπρῶν ἀστέρων καὶ ἀμυδρῶν καὶ μέσων καὶ τῆς τούτων δυνάμεως καὶ τί ἀποσημαίνουσιν.

ιγ′. Περὶ τῶν ὁρίων τῶν ε′ ἀστέρων καὶ ὅτι Πτολεμαῖος περὶ αὐτῶν πρὸς τοὺς Αἰγυπτίους διεφώνησεν καὶ ὅτι αἱ λαμπραὶ καὶ σκιεραὶ καὶ ἀμυδραὶ μοῖραί τινας ἐνεργείας ἐνδείκνυνται.

3 τὸ ὕδατι. 7 θυλήων. 12 ἀραίνουνται. 13 γίνονται iteravit cod. 16 μοί(ρας) vel μοῖ(ραν) cod. 19 επίκηνον. 25 λυχνῶδη. 26 ζώων. 39 πρὸς] Leg. παρὰ?

ιδ'. Περὶ τοῦ ὅτι αἱ ἀναφοραὶ τῶν ζ' κλιμάτων ἃς Πτολεμαῖος ἠκρίβωσεν ἐν πάσαις γενεθλιαλογικαῖς μεθόδοις χρήσιμοι, Αἰγύπτιοι δὲ καὶ Οὐάλης παχυμερέστερον διέλαβον, πλὴν καὶ τούτων δεόμεθα.

ιε'. Περὶ τῆς τῶν ζῳδίων μελοθεσίας.

ις'. Περὶ τριγώνων καὶ τετραγώνων καὶ διαμέτρων καὶ ἑξαγώνων καὶ ὅτι τριχῶς ταῦτα λαμβάνεται ἢ μοιρικῶς ἢ χρονικῶς ἢ ζῳδιακῶς.

ιζ'. Περὶ τῶν ἀσυνδέτων μὲν καλουμένων ζῳδίων, συμπάθειαν δὲ πρὸς ἄλληλα ἐχόντων καὶ ὅτι τοιαῦτά εἰσιν τὰ ἰσανάφορα καὶ τὰ ἰσοδυναμοῦντα καὶ τὰ ὁμόζωνα.

<ι>η'. Τίνα τῶν τετραγώνων καθέστηκεν πρὸς ἄλληλα συμπαθῆ καὶ τίνα πρὸς συμπάθειαν ἄχρηστα.

ιθ'. Περὶ τῶν δωδεκατημορίων τῶν ἀστέρων καὶ ὅτι γ' περὶ αὐτῶν τοῖς παλαιοῖς γεγόνασιν διαφοραί· ἄλλως μὲν γὰρ ὁ Παῦλος ἐν τῇ αὐτοῦ Εἰσαγωγῇ διαλαμβάνει, ἑτέρως δὲ ὁ Δωρόθεος ἐν τῇ ια' βίβλῳ αὐτοῦ, καὶ ὁ Πτολεμαῖος ἄλλως ἐν τῷ τῆς Τετραβίβλου πρώτῳ λόγῳ· οὗτος δὲ ὁ Ἀντίοχος τὴν Πτολεμαίου καὶ Δωροθέου <μέθοδον> ἀποδέχεται ὡς καὶ συμφωνούσας ἀλλήλοις.

κ'. Περὶ ἀκουόντων καὶ βλεπόντων καὶ ποῦ συμβάλλονται.

κα'. [δὲ πρῶτον] Ὅτι ἐπιθεωρεῖν ἢ ἐπιμαρτυρεῖν λέγεται ὁ ἡγούμενος τὸν ἑπόμενον καθ' ἓν τῶν σχημάτων, ἑξάγωνον λέγω ἢ τετράγωνον ἢ τρίγωνον ἢ διάμετρον.

κβ'. Ὅτι ἀκτινοβολεῖν λέγεται κατὰ τὰ εἰρημένα σχήματα ὁ ἑπόμενος τὸν ἡγούμενον.

κγ'. Ὅτι δεξιὰ μὲν σχήματα λέγεται ἤτοι πλευραὶ τὰ ἐν τοῖς ἡγουμένοις τοῦ ζῳδιακοῦ, ἀριστερὰ δὲ τὰ ἑπόμενα.

κδ'. Περὶ δορυφορίας τῶν ἀστέρων καὶ πῶς γίνεται.

κε'. Περὶ δορυφορίας παραιρέτων.

κς'. Ποῖαι δορυφορίαι μᾶλλον ἐνεργεῖς, καὶ ποῖαι οὐ τοιαῦται.

κζ'. Ὅτι ἐπιδεκατία καὶ καθυπερτέρησίς ἐστιν ὅταν ἐν τῷ αὐτῷ τόπῳ κείμενος ἀστὴρ τῷ εὐωνύμῳ τετραγωνίζῃ, ἑτέρα δὲ καθυπερτέρησις λέγεται ὅταν ἐν δεξιῷ τόπῳ ὑπάρχων τις ἀστὴρ τὸν ἐν τῷ ἀριστερῷ τριγώνῳ ἢ τετραγώνῳ ἢ ἑξαγώνῳ ὑπάρχοντα ἐπιθεώρῃ.

κη'. Ὅταν κάκωσίς ἐστιν· ὅταν ὑπὸ κακοποιῶν τις ἀκτινοβολῆται ἢ ἐμπεριέχηται ἢ ἐν συναφῇ τινος αὐτῶν ἢ ἐν κολλήσει γένηται ἢ οἰκοδεσποτῆται κειμένου τοῦ κακοποιοῦ ἐν τοῖς ἀχρηματίστοις τόποις. ἀχρημάτιστοι δὲ τόποι εἰσὶν ὁ ς' ἀπὸ τοῦ ὡροσκόπου καὶ ὁ γ' καὶ ὁ β' καὶ ὁ η' καὶ ὁ ιβ'.

3 παχυμερέσταιρον. 4 ζώων. μελλοθεσίας. 11 η' cod., corr. Boudreaux. τετραγώνων (sign. astrol.)] cf. Boll, *Catal.*, I. p. 154. 17 μέθοδον suppl. 20 δὲ πρῶτον del.; exortum ex εἰκοστὸν πρῶτον. 21 ἑπόμενον; cf. *Catal.*, I, 155, 16] επόνυμον cod. 30 αὐτῷ] Lege δεκάτῳ (cf. *Catal.*, I, p. 157, 1) vel δεξιῷ. 31 τετραγονίζει. 33 ἐπιθεωρεῖ. 34-35 ακτηνοβολεῖται ἢ εμπεριέχεται. 35-36 οἰκοδεσποτεῖται. 36 χρηματίστοις.

κθ'. Οἱ χρηματιστικοὶ τόποι εἰσὶν τὰ δ' κέντρα καὶ τὰ β' τρίγωνα τοῦ ὡροσκόπου καὶ ἡ τοῦ μεσουρανήματος ἐπαναφορά.

λ'. Περὶ ἰδιοπροσωπίας.

λα'. Ὅτι μετοχή ἐστιν ὅταν δύο πλανῆται ἐν τῷ αὐτῷ ζῳδίῳ ὦσιν ἢ ἐφορῶσιν αὐτό, τυγχάνῃ δὲ τοῦ μὲν οἶκος, τοῦ δὲ ὕψωμα.

λβ'. Ὅτι ἀντανάλυσις διχῶς λέγεται· ὅταν οἱ ἡμερινοὶ τῶν νυκτερινῶν ἢ οἱ νυκτερινοὶ τῶν ἡμερινῶν τοὺς οἴκους ἢ τὰ ὑψώματα κατασχῶσιν, ἢ ὅταν οἱ μὲν ἐπικείμενοι τοῖς ζῳδίοις ἀστέρες καλῶς χρηματίζωσιν, οἱ δὲ οἰκοδεσπόται τῶν ζῳδίων ἐν κακώσει ὑπάρχωσιν, ἀχρημάτιστοι ὄντες [1].

λγ'. Ὅτι δεσπόται λέγονται ἀλλήλοις, ὅταν τοῦ μὲν ὕψωμα, τοῦ δὲ οἶκος, ἐν οἷς ζῳδίοις οἱ ἀστέρες τυγχάνωσιν.

λδ'. Οἰκοδεσπότης δὲ λέγεται ὅταν πλείονας ἔχῃ λόγους οἰκοδεσποτείας ἀστὴρ ἔν τινι τῶν ζῳδίων.

λε'. Ὅτι ἡ κόλλησις ἤτοι συναφὴ ὅταν ἄστρον ἄστρῳ προσέρχηται τὸ τάχιον τῷ βραδυτέρῳ μὴ πλέον ἀπέχον τριῶν <μοιρῶν>. Σελήνης δὲ κόλλησις ἢ συναφή ἐστιν ὅταν νυχθημέρου δρόμον ἀπέχῃ κατὰ τὴν συνοδικὴν μοῖραν.

λς'. Μεσεμβόλησις δέ ἐστιν ὅταν ὁ ἀστὴρ εἰς τὰς μέσας μοίρας τῆς συναφῆς τὰς ἀκτῖνας βάλλῃ.

λζ'. Παραλλαγὴ δέ, ὅταν τις τῶν ἀστέρων παραλλάξῃ σωματικῶς ἢ κατὰ σχῆμα τὴν τοῦ ἑτέρου μοῖραν.

λη'. Τί ἐστιν ἐπὶ σύνδεσμον φέρεσθαι τὴν Σελήνην καὶ πῶς γίνεται.

λθ'. Ὅτι κενοδρομία λέγεται Σελήνης, ὅταν μηδενὶ συνάπτῃ μήτε σωματικῶς μήτε κατὰ σχῆμα.

μ'. Ὁμορόησις ὅταν ἐν τοῖς ἰδίοις ὁρίοις ὦσιν οἱ ἀστέρες κατὰ σῶμα ἢ κατὰ σχῆμα ἢ ἀλλήλους ὁρῶσιν ἐν ὁρίοις ἀστέρος τοῦ αὐτοῦ.

μα'. Ἐμπερίσχεσις δέ ἐστιν ὅταν δύο πλάνητες ἕνα μέσον περισχῶσιν, μηδενὸς ἄλλου εἰς τὰ μεταξὺ αὐτῶν βάλλοντος ἀκτῖνα.

μβ'. Ἐν δυνάμει δὲ λέγεται ἀστὴρ εἶναι ὅταν οἴκῳ ἰδίῳ ἢ ὑψώματι ἢ ὁρίοις ἢ οἰκείᾳ φάσει ἢ συσχηματισμῷ τύχῃ ἢ τόπῳ τινὶ τῆς δωδεκατοπίας εὐτονωτέρῳ.

μγ'. Ἐν λαμπήναις δὲ ἰδίαις λέγονται εἶναι, ἐπειδὰν ἐν οἴκῳ ἰδίῳ ἢ ὁρίοις εὑρεθῶσιν· χαίρουσι γὰρ ἐν τοῖς τόποις.

μδ'. Περὶ τοῦ πῶς ἔχοντες καὶ πότε χαίρουσιν οἱ ἀστέρες.

6 ἀντανάλλυσεις. 9 Lege χρηματισθῶσιν. εἰ δέ. 10 ἀχρημάτισθη. 14 τινι] τοινυ. 15 ἤτι. 16 μοιρῶν suppl.; cf. *Catal.*, I, 158, 15. 26 ὁμορρόησις. 31 οἰκία.
π'
φήσει. 31-32 δωδεκατρο. 33 λαμπιναῖς (*sic*).

[1] Haec proprius accedunt ad Porphyrii textum quam ad Antiochi qualem codices nostri praebent [Boll].

με'. Ὕπαυγοι δὲ λέγονται, ἐπειδὰν ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τύχωσιν ἐπὶ τὸ πρόσω ἢ ὀπίσω.

μϛ'. Μετὰ ταῦτα διαλαμβάνει ὁ Ἀντίοχος περὶ τῶν ιβ' τόπων τοῦ θεματίου καὶ καταλέγει τί σημαίνει ἕκαστος τούτων, καὶ ὅπως ἔστιν γνῶναι ἕκαστον τούτων, καὶ ὅπως ἔστιν γνῶναι ἕκαστον τόπον πόσας ἐπέχει μοίρας τοῦ ζῳδιακοῦ.

Εἶτα τίθησιν μζ' περὶ κλήρων σημασίας, Σελήνης τέ φημι καὶ Ἡλίου καὶ βάσεως ἤτοι ὡροσκόπου, Κρόνου καὶ Διὸς καὶ Ἄρεως καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ, τίνα σημαίνουσιν ἕκαστοι τούτων.

μη'. Τίνων ἐστὶν ταῦτα ἀποτελεστικὰ καὶ διαφόρως σχηματιζόμενα.

μθ'. Περὶ τῶν τελείων καὶ ἐλαχίστων ἐτῶν τῶν πλανωμένων.

ν'. Πῶς ἄν τις μάθοι τὰς τῶν ζῳδίων προθέσεις καὶ τὰς ὥρας τῶν κλιμάτων.

να'. Περὶ τῶν μεγίστων ἐτῶν καὶ τελείων ἀποκαταστάσεων τῶν ζ' ἀστέρων.

νβ'. Περὶ τοῦ τί σημαίνει ἀσύνδετος ἡ Σελήνη οὖσα πρὸς τοὺς λοιποὺς πλανωμένους.

νγ'. Περὶ τοῦ τί δηλοῦσιν αἱ πρὸς τὸν Ἥλιον δορυφορίαι τῶν ε' πλανωμένων [1].

νδ'. Ἐπίσκεψις πινακικὴ ἤτοι γενέσεως πρὸς κατάληψιν τῆς ἀκριβείας διὰ τόπων.

νε'. Περὶ τοκετοῦ ὅπως ὑπὸ τῶν ἀστέρων σχηματιζόμενος δηλοῦται.

νϛ'. Περὶ τῶν τικτομένων ἀπὸ τοῦ πολεύοντος καὶ διέποντος πρόγνωσις [2].

νζ'. Ἐπὶ τούτοις περὶ ἐνίων τόπων τοῦ πίνακος διαλαμβάνει καὶ α' τοῦ δωδεκάτου τόπου ὀνομασίας καὶ σημασίας ἀναγράφει καὶ σχηματισμοὺς πρὸς αὐτὸν τῶν πλανωμένων καὶ τὰ ἐκ τούτων ἀποτελέσματα, εἶτα περὶ ὡροσκόπου, ὁμοίως περὶ τοῦ β', γ', περὶ τοῦ μεσουρανήματος ὡσαύτως δ', περὶ τοῦ ια' τόπου.

Εἶτα νη' κεφάλαιον διαλαμβάνει περὶ τῆς τῶν ἀπλανῶν δυνάμεως καὶ τί σημαίνει ἕκαστος τούτων κατὰ τὰς γενέσεις † ἐπισκοποῦ μοῖ(ρα) [3].

2 τὸ πρόσω] τὰ πρώσωπα cod., corr., cf. *Catal.*, I, 160, 3. 12 μάθη cod., corr., cf. *Catal.*, I, 160, 4. 16 οσύνδετος (*sic*). τοὺ. 31-32 ἐπισκοποῦ μοῖ(ρα) *sic* in cod. Fuisse videtur in archetypo ὡροσκοπῶν ἢ μεσουρανῶν (sign. astrol.), cf. *Catal.*, V, 1, p. 219, 18.

---

[1] Hic desinunt excerpta Antiochi a Francisco Boll edita *Catal.*, I, p. 143-164.

[2] Edidit Boll, *Catal.*, VII, p. 114, 18 s.

[3] Haec Antiochi capita νη'-οα', decurtata quidem et interdum immutata, in usum suum convertit excerptor saeculi IX cuius collectanea in codice Parisino 2506 [nostro 9] servata sunt (cf. *Catal.*, V, 1, p. 217 s.). Leguntur enim f. 11-16r capita: β'. Περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων δυνάμεως (ed. *Catal.*, V, 1, p. 219-226). — γ'. Περὶ καθολικῶν σχημάτων τῆς Σελήνης καὶ τῶν ιβ' μορίων τῶν ἀστέρων.

νθ'. Περὶ σχημάτων Σελήνης καθολικῶν πρὸς τοὺς ἀστέρας σχηματιζομένους τίνα σημαίνουσιν ἀποτελέσματα [1].

ξ'. Περὶ τῶν δωδεκατημορίων τῶν πλανωμένων κατὰ τὰς γενέσεις τί σημαίνουσιν.

ξα'. Περὶ σινῶν καὶ παθῶν ἃ ἐκ τῶν σχηματισμῶν τῶν πλανωμένων σημαίνεται.

ξβ'. Περὶ μοιρῶν σινούντων ὀφθαλμούς.

ξγ'. Περὶ φαλακρῶν.

ξδ'. Περὶ ποδαγρῶν.

ξε'. Περὶ μαινομένων καὶ ἐπιληπτικῶν.

ξϛ'. Περὶ ἀσελγῶν καὶ μεθύσων καὶ ἐμπαθῶν ἀπὸ τίνων σημαίνονται [2].

ξζ'. Περὶ δεκανῶν ἀσελγοποιῶν τῆς Ἀφροδίτης ἐνούσης αὐτοῖς.

ξη'. Περὶ Ἡλίου ὁμοίως, περί τε Σελήνης καὶ Κρόνου καὶ Διὸς <καὶ> Ἄρεως καὶ Ἑρμοῦ καὶ περὶ ὡροσκόπου [3].

ξθ'. Περὶ ζῳδίων ἀσελγῶν.

ο'. Καθολικὰ σχήματα βι<αι>οθανάτων.

οα'. Καθολικὰ σχήματα ἐκπτώτων.

οβ'. Περὶ τῶν ια' φάσεων τῆς Σελήνης καὶ τί σημαίνουσιν κατὰ τὰς γενέσεις πρὸς τὰ ζῴδια σχηματιζομένης [4].

ογ'. Περὶ τῶν ἀναβιβάζοντος καὶ καταβιβάζοντος ἀποτελεσμάτων.

7 μηρῶν. 11-12 σημαινόντων. 13 αὐτῆς. 17 βιοθανάτων. 21 ἀναβιβάζοντος ex ἀναβιβαζόντων corr. καὶ καταβιβάζοντος suprascriptum.

— δ'. Καθολικὰ σχήματα περὶ σινῶν καὶ παθῶν. — Μοῖραι σινωτικαὶ ὀφθαλμῶν. — ε'. Κεφάλαια ποδαγρῶν. — ϛ'. Κεφάλαια μαινομένων, ἐπιλήπτων καὶ παρέτων. — ζ'. Κεφάλαια ἀσελγῶν, ἐμπαθῶν, μεθύσων, μοιχῶν. — η'. Καθολικὰ βιαιοθανάτων σχήματα. — θ'. Καθολικὰ ἐκπτώτων σχήματα. — ι'. Περὶ φάσεων τῆς Σελήνης. — ια'. Καθολικὰ εὐτυχούντων σχήματα. Sed iam pridem ostendimus (*Catal.*, V, p. 194 ss.) excerptorem illum saeculi IX astrologum quemdam expilavisse cuius fragmenta ampliora Palchus servavit, atque astrologum hunc ignotum Aegyptium esse sed Romae anno 379 p. C. n. librum suum composuisse. Quem Antiochi Atheniensis, qui certe saeculo tertio est antiquior (cf. infra p. 111, n. 1), doctrinam referre nunc apparet et ex hoc astrologo saeculi IV Palchum versus habuisse quos ante caput περὶ ἀπλανῶν ἀστέρων praebet sub titulo Ἀντιόχου ὅσα οἱ ἀστέρες ἐν τοῖς τόποις τοῦ θέματος τυχόντες σημαίνουσιν (*Catal.*, I, p. 108 ss.; cf. V, 1, p. 35, cod. Rom. 2, f. 135). Hi versus, sive ipsius Antiochi sunt, sive, quod probabilius est, ab eo ex antiquiore poeta adlati sunt, sine dubio excerpti sunt ex capitulo νδ'. Ἐπίσκεψις πινακικὴ ἤτοι γενέσεως πρὸς κατάληψιν τῆς ἀκριβείας διὰ τόπων.

[1] Edidit Boll, *Catal.*, VII, p. 107 s.; cf. *Catal.*, V, 1, p. 212.

[2] Capitulorum ξα'-ξϛ' formam decurtatam edidit Boll, *Catal.*, VII, p. 111-113; cf. *Catal.*, V, 1, p. 208, p. 226.

[3] Capita ξζ'-ξη' edidit Boll, *Catal.*, VII, p. 115.

[4] Edidit Boll, *Catal.*, VII, p. 116.

οδ'. Καθολικὰ σχήματα εὐτυχούντων.

οε'. Πρὸς τούτοις δὲ διεξέρχεται καὶ περὶ τῶν <τὰς> πράξεις καὶ τὰ ἐπιτηδεύματα δηλούντων σχηματισμῶν.

ος'. Περὶ τῶν γ' ἀστέρων τῶν τὰς ποιότητας τῶν πράξεων σημαινόντων, Ἑρμοῦ, φημί, καὶ Ἄρεως καὶ Ἀφροδίτης καὶ ὅσα μετὰ τῶν λοιπῶν σχηματιζόμενοι ἀποτελοῦσιν.

οζ'. Περὶ τῶν τὰς τέχνας ἐπισημαινόντων, οἷον ῥητόρων καὶ παιδευτῶν, μαθηματικῶν ἢ μάντεων καὶ βαλανέων καὶ † νεκρηπαρτῶν οἰκοδόμων τε καὶ κεραμέων, μεθύσων καὶ κιναίδων καὶ γοήτων, τεκτόνων, βυρσέων καὶ λιθοξόων καὶ καβιδαρίων, κυνηγῶν τε καὶ ἱερακοτρόφων καὶ ὀρνιθοτρόφων καὶ ζῳγράφων καὶ περιναυτῶν καὶ ῥαπτῶν, μηχανικῶν τε καὶ ψηφάδων καὶ μίμων [1].

οη'. Ἐπὶ τούτοις τίνες καὶ ὅπως σημαίνουσιν τὰ περὶ γονέων.

οθ'. Περὶ ἀλλοφύλων γονέων.

π'. Περὶ πατροκτόνων τέκνων ἢ μητροκτόνων ἢ ἐχθρῶν αὐτοῖς καὶ ἀποβλήτων.

πα'. Περὶ πολυχρονιότητος γονέων ἢ ὀλιγοχρονιότητος ὑπὸ τίνων δηλοῦται.

πβ'. Περὶ γονέων ἀπὸ συνόδων <καὶ> πανσελήνων.

πγ'. Περὶ τελευτῆς γονέων ὅπως καταλαμβάνεται αὐτή.

πδ'. Ὅπως τῶν προκεκοιμημένων ὁ ἀριθμὸς γίνεται δῆλος.

πε'. Περὶ ἀδελφῶν καὶ τῆς φιλίας αὐτῶν ἀμφιθαλῶν τε καὶ ἑτεροθαλῶν μειζόνων τε καὶ μικροτέρων καὶ τῆς ποσότητος αὐτῶν, ἐκ τίνων ἔστιν τὴν γνῶσιν αὐτῶν θηρεῦσαι.

πς'. Εἶτα περὶ συναφῶν τε καὶ ἀπορροιῶν διδασκαλία οὐκ ἄχρηστος.

πζ'. Ὅτι σύνδεσμος λέγεται Σελήνης ὅταν τοῦ Ἡλίου ἐπιφαίνοντος <τὰς> μοίρας τοῦ νυχθημέρου αὐτῆς μὴ μεγάλως ἀπέχῃ ἀπ' αὐτοῦ. λύειν δὲ τὸν σύνδεσμον λέγεται, ὅταν τὰς αὐτὰς μοίρας ἀποσπάσῃ ἀπ' αὐτοῦ.

πη'. Κενοδρομία τῆς Σελήνης λέγεται ὅταν μηδεὶς σὺν αὐτῇ μέλλῃ μήτε ζῳδιακῶς, μήτε μοιρικῶς, μήτε κατὰ κόλλησιν, μήτε κατὰ σχῆμα μηδὲ ἐντὸς τῶν λ' μοιρῶν συναφὴν [μέλλει] ποιεῖσθαι.

πθ'. Πάντα εἰπὼν καὶ συντελεσάμενος ὡς ἐν ὑποδείγματι γένεσίν τινος γραμματικοῦ πολυπραγμονεῖ καὶ ὅσα τῇ γενέσει ἕπεται μέχρι θανάτου.

2 τὰς suppl. 8 νεκρηπάρτης quid sit nescio; cf. *Catal.*, VII, p. 117, 25. 9 γωήτων. 10 καβυδαρίων cod. καβιδάριοι = lapillorum cavatores, cf. Du Cange. *Gloss.* s. v. 11 περιναυτῶν vix sanum. 11-12 μοιχανικῶν. 15 εγχθρῶν, 19 συνοδωπανσελίνων. 21 προκεκειμημένων. 22 φυλλίας cod. αμφιθαλλῶν. ετερωθαλλῶν. 24 θηρᾶσαι cod., corr.; cf. p. 96, 7, 37; 116, 23, 29; 117, 30 etc. 26-27 ἐπιφαίνουσαν corr. Boll, qui τὰς suppl. 28 ἀποσπάσει. 30 μηδενὶ συν αυτῷ μέλλει. 32 μέλλει del.

[1] Edidit Boll, *Catal.*, VII, p. 117.

ϙ'. Καὶ δεύτερον βασιλέων γένεσιν τῇ αὐτῇ καθυποβάλλει μεθόδῳ.

Οὗτος ὁ Ἀντίοχος μεταγενέστερός ἐστιν καὶ Παύλου τοῦ Ἀλεξανδρέως καὶ Οὐάλεντος [1].

Τῶν Ἀντιόχου εἰσαγωγικῶν βιβλίου α' συγκεφαλαίωσις [2].

Διαλαμβάνει α' περὶ τῶν ζ' πλανωμένων [3] ἀρξάμενος ἀπὸ Κρόνου μέχρι Σελήνης. λέγει γοῦν τὴν πρώτην τάξιν καὶ πρὸς οὐρανὸν ἐγγυτέραν ἐπέχειν Κρόνον· ἄρχειν τε χρονίων πραγμάτων ὑγρότητός τε καὶ ψύξεως καὶ παλαιῶν ἔργων καὶ ἑτέρων συστοίχων, ἃ καὶ τοῖς ἄλλοις ἀστρολόγοις λέγεται, καὶ ὡς ἐν μὲν ἰδίοις τόποις χρηματίσας καὶ λαμπήναις, καλῶς τε σχηματισθεὶς ὠφελεῖ τοῖς γενομένοις, ἐξ ἀλλοτρίας βλάβης τὴν αὔξησιν αὐτοῖς προσνέμων, κακῶς δὲ σχηματισθεὶς ἐκ τῶν αὐτῶν ἐπάγει τὰς συμφοράς· καλεῖται δὲ Φαίνων. — Ὁ δὲ τοῦ Διὸς μέσος ὢν Κρόνου τε καὶ Ἡλίου ἄρχει μὲν μεγαλοπρεπείας καὶ δόξης καὶ σεμνότητος καὶ τῶν συστοίχων· καλεῖται δὲ Φαέθων. — Ὁ δὲ τοῦ Ἄρεως πυρρός τέ ἐστιν τὸ χρῶμα ὡς ἄνωθεν ἐγγίζων Ἡλίου, ἄρχει δὲ τοῦ τε ἐν ἡμῖν αἵματος καὶ [τοῦ] τῆς σπερματικῆς ὁρμῆς, θυμοῦ τε καὶ ὀργῆς καὶ θράσους καὶ ὅσα σιδήρῳ πράττεται, καὶ τῶν τούτοις ὁμοίων· καλεῖται δὲ Πυρόεις. — Ὁ δὲ Ἥλιος ἄρχει μὲν πνεύματος καὶ ψυχῆς καὶ κινήσεως πνευματικῆς καὶ πατρικοῦ καὶ ἡγεμονικοῦ προσώπου. — Ὁ δὲ τοῦ Ἑρμοῦ, ἅτε δὴ συναπτόμενος Ἡλίῳ, σπανιώτερον μὲν ὁρᾶται, ἄρχει δὲ φρονήσεως καὶ λόγου καὶ ἐπιστήμης καὶ τῶν παραπλησίων· καλεῖται δὲ Στίλβων. — Ὁ δὲ τῆς Ἀφροδίτης καὶ αὐτὸς παρακείμενος τῷ Ἡλίῳ καὶ μέγεθος ἔχων ἄρχει μὲν εὐπρεπείας καὶ καθαριότητος καὶ φιλοστοργίας

3 ἀλεξάνδρου. 4 Ἀντιόχου εἰσαγωγικὸν in summa pagina manu rubricatoris. 16 τοῦ del. 20 δὴ] δεὶ. 23 φιλοστοργείας.

[1] De aetate Antiochi Atheniensis disseruit Boll, *Sphaera*, p. 54 ss. et *Heidelberger Sitzungsb.*, l. c. Certe ante saeculum tertium vixit, nam a Porphyrio citatur. Sed epitomator non ipsius Antiochi *Thesauros* legit, sed Rhetorii paraphrasin saeculo VI confectam ubi Vettii Valentis (quem sane Antiochus ipse legere potuit) et Pauli Alexandrini sententiae interdum afferebantur, ut ex capitulorum ιγ'-ιθ' summario (p. 105, 38 - 106, 17) et ex codicis Parisini 2506 excerptis (cf. p. 108, n. 3) apparet.

[2] Porphyrius in *Isagoges* capitulo Περὶ σπορίμου τῆς Σελήνης (p. 194, ed. 1559) Antiochi sententiam refert, sed philosophum tertii saeculi veteris astrologi librum saepius in definitionibus et in exemplis ad verbum descripsisse nunc apparet, quod iam Boll ex aliis indiciis suspicatus erat (*Sphaera*, p. 56, n. 5). Fontes autem Antiochi, quos quidem ipse prodit, fuerunt Aegyptiaci libri Hermetis Trismegisti (p. 116, 10; 117, n. 1; 118, 2) et Petosiridis ac Nechepsonis (p. 116, 11; 119, 25; cf. Porphyr, *Isag.*, p. 194, l. 14). Praeterea Hermetis interpretem Timaeum nominat (p. 116, 3, 11), qui sine dubio scriptor fuit primi p. C. saeculi, sicut Asclatio, vel antiquior (cf. *Catal.*, I, p. 97 s.: V, 1, p. 204, n. 6; p. 205, n. 1; Vett. Val., II, 31 (102, 19 ed. Kroll); IX prooem. (329, 23 Kroll).

[3] Similem epitomen eiusdem capituli edidit Boll, *Catal.*, VII, p. 127.

καὶ ἔρωτος καὶ ὅσα τῆς αὐτῆς ἔχεται συστοιχείας· καλεῖται δὲ Φωσφόρος. — Ἡ δὲ Σελήνη περιγειοτέρα μὲν ὑπάρχουσα, τὰς ἀπορροίας τῶν ἄνωθεν αὐτῆς δεχομένη ἀστέρων καὶ διακονοῦσα πρὸς τὰ περίγεια, ἄρχει τοῦ ἀνθρωπείου σώματος παντός, ὑγιείας τε καὶ καταστάσεως καὶ μητρὸς καὶ γυναικῶν ἡγεμονικῶν, φάσεις δὲ ποιεῖται πρὸς τὸν Ἥλιον ζ', μεθ' ἃς καὶ τὴν πρὸς αὐτὸν ἀπάρχεται σύνοδον. — Ταῦτα εἰπὼν ἐπάγει ἐν ποίοις ζῳδίοις γενόμενος ὁ Ἥλιος τόν τε χειμῶνα καὶ τὸ θέρος καὶ τοὺς μεταξὺ τούτων β' καιροὺς ἀποτελεῖ καὶ ὅτι τῶν ε' πλανωμένων Κρόνος μὲν <καὶ> Ζεὺς ἑῷοι ὄντες τῆς αἱρέσεώς εἰσίν τοῦ Ἡλίου καὶ καλοῦνται ἡμερινοί· χαίρουσι γὰρ ἐν ἡμέρᾳ χρηματίζοντες ἐν οἴκοις ἡμερινοῖς καὶ ὁρίοις. Ἄρης δὲ καὶ Ἀφροδίτη νυκτερινοί τε λέγονται καὶ τῆς Σελήνης αἱρέσεώς εἰσιν. ὁ δὲ τοῦ Ἑρμοῦ ἐπίκοινος· ᾧ γὰρ ἂν σχηματισθῇ τῶν ἀστέρων, τούτῳ καὶ ἐξοικειοῦται [1].

β'. Περὶ τῶν ζῳδίων διαλαμβάνει, τίνα τροπικὰ καὶ τίνα δίσωμα καὶ τίνα στερεά, τίνα τε περισσομελῆ καὶ τίνα ἀνθρωποειδῆ, τίνα τε μελοκοπούμενα καὶ τίνα βλοσυρά, τίνα τε πρὸς συνουσίας κατάφορα καὶ ποῖα πολύσπερμά τε καὶ πολύγονα, ποῖα δὲ ἄγονα καὶ ποῖα φωνήεντα καὶ ποῖα ἄφωνα, ἄρσενά τε ποῖα καὶ ποῖα θηλυκά [2], καὶ ὡς τὰ μὲν ἄρσενα τῆς ἡλιακῆς εἰσιν αἱρέσεως, τὰ δὲ θήλεα τῆς σεληνιακῆς, καὶ ὡς Καρκίνος μὲν καὶ τὰ παρ' ἑκάτερα βόρεια, Αἰγόκερως δὲ καὶ τὰ παρ' ἑκάτερα νότια, Κριὸς δὲ καὶ τὰ παρ' ἑκάτερα ἀπηλιωτικά, λιβικὰ δὲ Ζυγὸς καὶ τὰ παρ' ἑκάτερα, καὶ ὡς ἔνιοι τοὺς ἀνέμους ἄλλως διαιροῦντες, Καρκίνον μὲν καὶ τὰ τούτου δύο τρίγωνα, Σκορπίον λέγω καὶ Ἰχθύας, βόρειον τρίγωνον καλοῦσιν. ἀπηλιωτικὸν δὲ Κριὸν Λέοντα Τοξότην, ζεφυριαῖον δὲ Ζυγὸν καὶ τὰ τούτου δύο τρίγωνα· ἀλλὰ ταῦτα μὲν ὡς πρὸς τὸν ὅλον κόσμον.

<γ'>. Λέγει δὲ καὶ ποῖα ζῴδια τίνων ἀστέρων οἶκοί εἰσιν, καὶ ποῖα τίνων ὑψώματα, τίνα τε ταπεινώματα τίνων, καὶ τίνων ὅρια τῶν ε' πλανωμένων. Ἥλιος γὰρ καὶ Σελήνη τοῖς ἄλλοις ἐπιμερίζοντες ἐν αὐτοῖς οὐκ ἀπένειμαν ὅρια. καὶ ὡς ἐν τῷ βάθει τῶν ζῳδίων οἱ ἀστέρες φερόμενοι ἑλικοειδῶς φέρονται σχήματα δ' ποιοῦντες [3]· πρῶτον μὲν ἀπὸ τῆς ἀνωτάτης ἀψῖδος καταβαίνοντες, ὅτε <ὑψηλὸν> ταπεινοῦσθαι λέγονται· β' ἐκεῖθεν πρὸς τὸ κατωτάτω ὅτε καὶ ταπεινὸν ταπεινοῦσθαι λέγονται· τὸ μέντοι γ' ἐκ τοῦ κατωτάτω ταπεινοῦ ἐπὶ τὸ μέσον ἀναβαίνοντες ὅτε καὶ ταπεινὸν ὑψοῦσθαι λέγονται· τὸ δὲ δ' ἀπὸ τοῦ μέσου πρὸς τὸ ἀνωτάτω ὅτε καὶ ὑψηλὸν ὑψοῦσθαι λέγονται· ὡς ἡ Σελήνη

2 Leg. προσγειοτέρα? cf. *Catal.*, VII, p. 127, 24. 9 καὶ suppl. 19 δὲ θύλαια δὲ τῆς. 21 λιβυκά. 25 Leg. ζεφύριον? 27 γ' suppl. 30 ἀπένειμαν dubium in codice. 32 ὑψηλὸν addidi; cf. p. 113, 3. 33 τω κατωτάτ(ω) cod.

[1] Doctrinam Petosiridis referebat Antiochus, cf. supra p. 100, n. 2.
[2] Cf. Thrasyllum, supra p. 99, 4-100, 5.
[3] Cum sequentibus cf. excerptum Antiochi *Catal.*, VII, p. 128, 12.

τὴν μὲν ἄνω ἕλικα τρέχουσα δι' ἡμερονυκτίου ια' διέρχεται μοίρας, τὴν δὲ κάτω διὰ τοῦ αὐτοῦ διαστήματος ιδ' μοίρας· ὅθεν β' λύσεις συνδέσμων λέγεται ποιεῖσθαι· μίαν μὲν ὅταν ἐκ τοῦ ὑψηλοτάτου ἄρχεται ταπεινοῦσθαι, ἃ καὶ χαλεπὰ καὶ ἄκριτα ἐπὶ γενέσεως ὁρᾶται σχήματα· ὁμοίως δὲ καὶ διὰ τῶν μέσων ἀνιοῦσα καὶ κατιοῦσα χαλεπή· ἐκλειπτικὸς ὁ τόπος οὗτος· ἐν τούτῳ γὰρ γινομένη καὶ πανσεληνιάζουσα πρὸς τὴν ὄψιν ἡμῶν τὸ τῆς ἐκλείψεως ὑπομένειν φαίνεται πάθος.

δ'. Μετὰ ταῦτα διέξεισι τί τῶν ἐν ἡμῖν τοῦ σώματος μερῶν ἑκάστῳ τῶν ζῳδίων ἀποκεκλήρωται, ὧν ἡ σκέψις ἐστὶν περὶ σίνους χρησίμη· καὶ μὴν καὶ ποίῳ τῶν πλανωμένων ποῖον τῶν ἐντὸς τοῦ σώματος ἡμῶν ἀποκεκλήρωται, οἷον ὡς Κρόνῳ μὲν τὴν φλεγματώδην οὐσίαν καὶ βρόγχους καὶ ἔντερα ἀνατιθέασιν καὶ τῶν λοιπῶν ἓξ τίνι τίνα, καθὰ καὶ τοῖς ἄλλοις ἀστρολόγοις λέγεται.

ε'. Ὅτι συνοικοδεσπόται γίνονται ὅταν τὸ αὐτὸ ζῴδιον τοῦ μὲν ὕψωμα, τοῦ δὲ οἶκος ᾖ· καὶ ὡς ἔνιοι συνοικοδεσπότας λέγουσιν τοὺς κυρίους τῶν ἑτέροις ἄστροις ἐξοικειουμένων τριγώνων, οἷον συνοικοδεσπότης ἐστὶν Κρόνος καὶ Ἑρμῆς τῇ Ἀφροδίτῃ, διότι τῶν κατὰ ζῴδια τριγώνων αὐτῆς ἤγουν Αἰγοκέρωτος καὶ Παρθένου κύριοί εἰσιν· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· καὶ ὡς βασιλέων μὲν ἐπέχουσιν λόγον Ἥλιος καὶ Σελήνη [1] ἕπεται δὲ καὶ ὑπηρετεῖ τῷ Ἡλίῳ μὲν Ἀφροδίτη καὶ Ἑρμῆς, ἡ μὲν ἀφῆς καὶ ὀρέξεως καὶ γονῆς, ὁ δὲ λόγου καὶ φρονήσεως συνεργάται.

ς'. Ὡς ἐπιμαρτυρεῖν ἀλλήλοις οἱ ἀστέρες λέγονται ἐπειδὰν ἀλλήλων τετράγωνοι ἢ τρίγωνοι ἢ διάμετροι ἢ ἑξάγωνοι τύχωσιν, καὶ διὰ πόσων ἕκαστος τῶν εἰρημένων σχηματίζεται καὶ ὡς τὸ μὲν κατὰ τρίγωνον σχῆμα συμπαθὲς καὶ ὠφέλιμον κἂν φθοροποιός <τις> τῶν ἀστέρων ᾖ· ἧττον γὰρ βλάπτει· τὸ δὲ τετράγωνον τοὐναντίον κἂν ἀγαθοποιὸς ᾖ· τὸ δὲ κατὰ διάμετρον ἀντίζηλον μέν, χεῖρον δὲ κακοποιοῦ παρόντος· ἀδρανέστερον δὲ τῶν ἄλλων τὸ ἑξάγωνον· κατὰ δύο δὲ διαφορὰς ἀποτελεῖται τὰ εἰρημένα σχήματα ἢ κατὰ ζῴδιον ἁπλῶς ἢ κατὰ μοῖραν, διὸ πολλάκις κατὰ τὰ ζῴδια τριγωνίζοντες οἱ ἀστέρες ἀλλήλους κατὰ τὰς μοίρας οὐ τριγωνίζουσιν καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως σχημάτων.

ζ'. Ὡς δεξιὸν μὲν λέγεται τρίγωνον καὶ τὰ ἄλλα σχήματα ἀφ' οὗ ἀπελήλυθεν ἀστήρ, εὐώνυμον δὲ ἐφ' ὃ πορεύεται.

η'. Ὡς παραλλαγὴ μέν ἐστιν ὅταν τὸν κατὰ μοῖραν σχηματισμὸν τῆς ἰσοσκελοῦς γραμμῆς παραλλάξωσιν ἀστέρες, συναφὴ δὲ ὅταν μοιρι-

2 β' λλύσις. 4 ὁρᾶται] ὁρα τε. 5-6 εκληπτικόν. 12 βρῶχους (*sic*). 14 ss. Cf. Porphyr., *Isagog.*, p. 186. 23 ss. Cf. Porphyr., *Isagog.*, p. 168. 26 φθοροποιός τις scripsi : φθοροποιὸν cod. 27 βλάπτει] βλέπει. 33 Cf. Porphyr., *Isagog.*, p. 187. 35 ss. Cf. Porphyr., ibid.

[1] De hac doctrina Aegyptiaca, cf. commentationem meam *Théologie solaire* (*l. c.*), p. 468, n. 3.

κῶς ἤτοι συνάπτωσιν ἤτοι μέλλωσιν ἐντὸς τριῶν συνάπτειν μοιρῶν· ἐπειδὴ τῆς Σελήνης ἡ συναφὴ λέγεται ὅταν ἐντὸς τρισκαίδεκα μοιρῶν συνάπτειν μέλλῃ, καὶ ὡς Ἡλίου βάλλοντος εἰς τὰς μέσας μοίρας ἀκτῖνα πᾶσα συναφὴ ἀσθενής.

θ'. Ὡς κόλλησίς ἐστιν ὅταν ἀστὴρ ἀστέρι προσέρχηται ὁ ταχύτερος τῷ βραδυτέρῳ οὐ πλέον ἀπέχων μοιρῶν γ'· σύνοδος δὲ ὅταν μηδέπω μὲν ᾖ κεκολλημένος, μέλλῃ δὲ κολλᾶσθαι, πλέον μὲν ἀπέχων τῶν γ' μοιρῶν, οὐ πλέον δὲ διιστάμενος τῶν πεντεκαίδεκα μοιρῶν· καὶ ὡς ἀπόρροιά ἐστιν ὅταν ἀστὴρ ἀστέρι βραδύτερος ταχυτέρῳ κολλήσεως γεγενημένης ἀποχωρίσῃ τῆς συναφῆς ἢ ὅταν ἀπὸ συναφῆς τῆς κατὰ σχῆμα πλείους τῶν ἐπιβαλλουσῶν τῷ σχήματι μοιρῶν ἄρχηται μοίρας ἔχειν.

ι'. Ὡς ἐπιδεκατεύειν λέγεται καθυπερτερῶν ἀστὴρ ἀστέρος ὁ ἐν τῷ δεξιῷ ζῳδίῳ τὰ ἐν τῷ εὐωνύμῳ καθ' ὁπότερον τῶν πολλάκις εἰρημένων δ' σχημάτων, καὶ ὡς ὁ καθυπερτερῶν ἰσχυρότερος μέν, ἐὰν δὲ καὶ ἀνατολικὸς ᾖ καὶ ἐπίκεντρος, ἀγαθὸς μὲν ἐπίσημον τὴν γένεσιν σημαίνει, κακὸς δὲ λυμαίνεται ταύτην.

ια'. Ὡς ὁμορόησις λέγεται ὅταν ἐν τοῖς αὐτῶν ὁρίοις ἀστέρες ὦσιν ἢ κατὰ κόλλησιν ἢ κατὰ σχῆμα οἱονδήποτε ἀλλήλους ἐφορῶσιν ἐν ὁρίοις τοῦ αὐτοῦ ἀστέρος ὄντες· κενοδρομία δὲ ὅταν ἡ Σελήνη μηδενὶ συνάπτῃ μήτε ζῳδιακῶς μήτε μοιρικῶς μήτε κατὰ κόλλησιν μήτε κατὰ σχῆμα μήτε μὴν ἐντὸς λ' μοιρῶν τῶν ἔγγιστα συναφὴν ἢ σύνοδον ποιεῖσθαι μέλλῃ· καὶ ὡς κακοῖ τὸ σχῆμα τὴν γένεσιν.

ιβ'. Ὡς ἐμπερίσχεσις λέγεται ὅταν δύο πλανῆται ἕνα μὲν περιλάβωσιν, μηδενὸς ἄλλου ἀστέρος εἰς τὰ μεταξὺ αὐτῶν βάλλοντος ἀκτῖνα, μήτε μὴν ἐντὸς ζ' μοιρῶν, ἐφ' ἃς παρελήλυθεν ἢ ἐφ' ἃς ἔρχεται. ἡ δὲ τοιαύτη ἐμπερίσχεσις ὑπὸ ἀγαθῶν μὲν γινομένη ἀγαθή, φαύλη δὲ ὑπὸ φαύλων.

ιγ'. Ὡς ἀκτινοβολεῖ ἀστὴρ ἀστέρα ὁ προηγούμενος τὸν ἑπόμενον κατὰ σχῆμα, οἷον ὁ ἐν Κριῷ ἀκτινοβολεῖ τὸν ἐν Αἰγόκερῳ καὶ ἐπὶ τῶν ὁμοίων· ὁ δὲ ἑπόμενος τὸν προηγούμενον ἐφορᾷ μὲν καὶ καθυπερτερεῖ φερόμενος ἐπ' αὐτόν, οὐκ ἀκτινοβολεῖ δέ· πάσης γὰρ αὐγῆς ἡ ὄψις εἰς τοὔμπροσθεν φέρεται, ἡ δὲ ἀκτὶς εἰς τοὐπίσω· λέγεται δὲ ἀκτινοβολεῖν ζῳδιακῶς καὶ μοιρικῶς.

ιδ'. Ὡς ἐν λαμπήναις ἰδίαις ἀστέρες λέγονται εἶναι ἐπὰν οἴκῳ ἰδίῳ ἢ ὑψώματι ἢ ὁρίοις ὦσιν· ὁ γὰρ τοιοῦτος δυνατὸς κἂν ὑπὸ τὰς αὐγὰς τελῇ τοῦ Ἡλίου, ἐὰν δὲ καὶ ἀνατέλλωσιν ἢ ἐπίκεντροι ὦσιν ἢ καὶ τὴν Σελήνην ἐφορῶσιν, ἐξουσιαστικὴν δηλοῦσιν τὴν γένεσιν.

1 ἤτοι prius] ἤδοι (*sic*). 5-6 Cf. Porphyr., *Isagog.*, p. 187, 23. 6 γ' ex ε' correctum. 7 μέλλει. 8 ss. Cf. Porphyr., ibid., v. 29 ss. 9 βραδυ παχυτέρῳ cod., corr. Boudreaux. 10 αποχωρίσει. 12 αποδεκατεύων; cf. supra p. 106, 30 et Porphyr., *Isagog.*, p. 188-9. 16 λημαίνεται. 17 δμορρόησις cod.; cf. supra p. 107, 26 et Porphyr., *Isagog.*, p. 189. 19 ἀστέρου. 22 μέλλοι. κακῆ. 23 ἐνπεριοχεσις. Cf. Porphyr., *Isagog.*, p. 188. ἕναν. 28 ss. Cf. Porphyr., *Isagog.*, p. 189. 31 αὐτῆς. 32 εἰ δὲ ακτί. 34 Cf. Porphyr., *Isagog.*, p. 190 et supra p. 107, 33.

ιε'. Ὡς ἅπας ἀστὴρ ὡς ἐπίπαν ἐντὸς ιε' μοιρῶν Ἡλίου γενόμενος δύνει, ἀνατέλλει δὲ ὅταν πλέον διαστῇ· καὶ ἑῴαν μὲν ἀνατολὴν ποιεῖται ὅταν προαναφέρηται τοῦ Ἡλίου, ἑσπερίαν δὲ ὅταν ἐπικαταφέρηται.

ις'. Ὡς μετοχὴ μέν ἐστιν ὅταν ἀστὴρ ἀστέρι σύνεστιν <ἐνὶ> ζῳδίῳ ἢ ἐφορῶσιν αὐτό, ... εἰ δὲ τοῦτο τοῦ μὲν οἶκος, τοῦ δὲ ὕψωμα. ἀντανάλυσις δὲ ὅταν οἱ ἡμερινοὶ τοὺς τῶν νυκτερινῶν οἴκους ἢ οἱ νυκτερινοὶ τοὺς τῶν ἡμερινῶν ἢ τὰ ὑψώματα ἀντικατασχῶσιν, ἢ ὅταν οἱ μὲν ἐπικείμενοι τοῖς ζῳδίοις ἀστέρες καλῶς χρηματίζωσιν, οἱ δὲ οἰκοδεσπόται αὐτῶν ἐν κακώσει καὶ ἀχρημάτιστοι ὦσιν.

ιζ'. Ὡς δορυφορίας γένη ἐστὶν τρία· ἓν μέν, ἐάν τινα ὄντα ἀστέρα ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι <ἕτερος ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι> κατὰ σχῆμα κατοπτεύῃ ἐπὶ τὴν ἀναφερομένην αὐτοῦ μοῖραν τὴν ἀκτῖνα βάλλων, οἷον ἐν Λέοντι τοῦ Ἡλίου ὄντος, Κρόνος ἐν Ὑδροχόῳ διαμετρῶν δορυφορεῖ καὶ Ζεὺς ἐκ Τοξότου τριγωνίζων, καὶ μὴν καὶ Ἄρης ἐκ τοῦ Κριοῦ ἑξαγωνίζων καὶ Ἀφροδίτη ἀπὸ Ζυγοῦ, ἀπὸ Διδύμων Ἑρμῆς ἢ τὸ ἀνάπαλιν· καθόλου γὰρ ὁ ἐπικεντρούμενος δορυφορεῖται· καὶ τοῦτο ὁμοίως καὶ ἐπὶ τῆς τῶν λοιπῶν ζ' <πρὸς> ἀλλήλους σχέσεως τῶν πλανωμένων.

Ἕτερον δὲ δορυφορίας εἶδος τὸ κατὰ ἀκτινοβολίαν, ὃ γίνεται ὅταν ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι φωστήρων κειμένων καὶ ἐν ἀλλοτρίῳ οἴκῳ ὁ ἀστὴρ τῆς αἱρέσεως ὢν ἀκτινοβολήσῃ, οἷον Ἥλιος μὲν εἰς τὴν προαναφερομένην μοῖραν, Σελήνη δὲ ἐφ' ἣν ἔρχεται κατ' ἰσοσκελῆ γραμμὴν τὴν ἀκτῖνα βάλλων· αἱ μέντοι τρίγωνοι δορυφορίαι ἀμείνους τῶν τετραγώνων καὶ διαμέτρων, αἱ δὲ ἑξάγωνοι ἀσθενέστατοι.

Τρίτον δὲ γένος δορυφορίας ἐστίν, ὅταν ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι ἄστρα ὄντα ἐν ἡμερινῇ μὲν γενέσει ἡμερινά, ἐν νυκτερινῇ δὲ νυκτερινά, δορυφορήσωσιν προηγουμένων· ἢ ἑπομένων καθ' ὃ σχῆμα Ἥλιος μὲν δορυφορηθήσεται ὑπὸ τοῦ προαναφερομένου ἀστέρος, Σελήνη δὲ ὑπὸ τοῦ ἐντὸς ζ' μοιρῶν προαναφερομένου. τὸν μέντοι Ἥλιον οὐ βλάψουσιν δορυφοροῦντες, οὐδ' ἂν ιε' μοίρας αὐτοῦ ἐν τῷ προαναφέρεσθαι διαστῶσιν ἀνατολικοὶ ὄντες καὶ δύναμιν ἔχοντες· κατὰ τὰ αὐτὰ δὲ καὶ Ἥλιος δορυφορήσει τὸν συναιρέτην ἐπίκεντρον ὄντα, καὶ ἡ Σελήνη ὁμοίως. παρ' αἵρεσιν δὲ δορυφορία γίνεται, ὅταν οἱ ἡμερινοὶ τοὺς νυκτερινούς, καὶ οἱ νυκτερινοὶ τοὺς ἡμερινοὺς δορυφορήσωσιν. κάκωσις δὲ λέγεται ὅταν ὑπὸ φθοροποιῶν ἀκτινοβολῆταί τις ἢ ἐμπεριέχηται ἢ συνάπτῃ τινὶ τούτων, ἢ κολλᾷ, ἢ

4 ζώδω cod. Leg. ἑνὶ ζῳδίῳ, cf. *Catal.*, I, p. 157, 25 vel τῷ αὐτῷ ζῳδίῳ, cf. supra p. 107, 4. 5 ss. Cf. supra p. 107, 6 ss.; Porphyr., *Isagog.*, p. 189. 5 Lacunam sign. Boll collato Porph. 7 εἰ μὲν. 8 εἰ δὲ. 10 ss. Cf. Porphyr., *Isagog.*, p. 190; *Catal.*, I, p. 156, 8 ss. 11 ἕτερος - ὑψώματι suppl. 16 επικεντρόμερος. 17 πρὸς suppl. 21 ἢ ἀστὴρ. ακτινωβωλήσει. 22-23 κατασοκελλῆ. 26-27 ενυκτερηνὴ (*sic*). 31 διεστάσιν ἀνατολικῶ. 33 Cf. *Catal.*, I, p. 156, 24. 35 Cf. *Catal.*, I, p. 157, 8 = Porphyr., p. 188. 36 ακτηνοβωλλεῖταί. εμπεριεχεισται. συνάπτει.

καθυπερτερῆται ἢ οἰκοδεσποτῆται κακῶς κειμένου τοῦ φθοροποιοῦ ἢ ἐν ἀχρηματίστοις ὄντος τοῦ κακουμένου.

ιθʹ. Ὅτι χρηματίζειν φησὶν κατὰ Τίμαιον ζῴδια ζʹ, τά τε δʹ φημὶ κέντρα, ὡροσκοποῦν καὶ μεσουρανοῦν καὶ δῦνον καὶ ἀντιμεσουρανοῦν· δύο δὲ τοῦ ὡροσκόπου τρίγωνα καὶ τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος. τὰ δὲ λοιπὰ ἄχρηστα· πολλάκις δέ, ἂν τοῦ ὡροσκοποῦντος αἱ πλείους μὲν μοῖραι προανενεχθῶσιν, αἱ δὲ ἔσχαται ὡροσκοπῶσιν, ἔσται τότε τὸ ἐπαναφερόμενον συγχρηματίζον τῷ ὡροσκόπῳ. ἀποκλίματα δέ ἐστιν δʹ, τὰ τῶν κέντρων προάγοντα καὶ ἀπορρέοντα ἐπ' ἀναφορᾷ, ὁμοίως δ' τὰ τοῖς κέντροις ἑπόμενα Ἑρμῆς φησιν κατὰ Τίμαιον· κατὰ δὲ τὸν Βασιλέα χρηματίζειν λέγονται τὰ δʹ κέντρα καὶ αἱ τούτων ἐπαναφοραί [1].

κʹ. Ὅτι ἀπηλιωτικὸν <μὲν> κλίμα πρὸς τὰς γενέσεις λέγουσιν τὸ ἀπὸ ὡροσκοπούσης μοίρας μέχρι δυνούσης, λιβικὸν δὲ τὸ ἀπὸ δυνούσης μέχρι ὡροσκοπούσης.

καʹ. Ὅτι σπόριμον Ἥλιον λέγουσιν εἶναι ἐπὶ τῶν δεκαμήνων τὸ εὐώνυμον αὐτοῦ τετράγωνον ἐφ' ὃ πορεύεται· ἐκεῖ γὰρ αὐτοῦ ὄντος ἡ σπορὰ ἐγένετο· ἐπὶ δὲ τῶν ἑπταμήνων τὸ διάμετρον. ἐπὶ μέντοι τῆς Σελήνης σπορίμου διαφορὰς μέν φησιν γεγονέναι, δύο δὲ τούτων προκρίνει δόξας· τοὺς δὲ κυρίους τῶν ὁρίων καὶ τῶν ζῳδίων δεσπότας εἶναι τῆς ὅλης γενέσεως.

κβʹ. Ἔτι φησὶν τὸν ὡροσκόπον τῆς σπορᾶς καὶ ἑτέρως παρὰ τὰ εἰρημένα τινὰς θηρεύειν· τοῦ γὰρ ὡροσκοποῦντος ζῳδίου, φησίν, πόστη μοίρᾳ ἦν, δεῖ σκοπεῖν, εἶτα τὰς ἀνενηνεγμένας πολυπλασιάζειν ἀπὸ τοῦ τῶν ὡρῶν πλήθους, καὶ συγκεφαλαιωσάμενος ἀποδιδόναι ἀνὰ λʹ ἀπὸ τοῦ ὡροσκοποῦντος ζῳδίου κατὰ τὴν ἀποκύησιν καὶ ὅπου δ' ἂν ἐμπέσῃ ὁ ἀριθμός, ἐκεῖνο ὡροσκοπῆσαι κατὰ τὴν τοῦ σπέρματος καταβολήν.

κγʹ. Καὶ τὸ δωδεκατημόριον δὲ τῆς Σελήνης διχῶς θηρεύεσθαί φησιν, ὅπως τε δεῖ τὸ κλίμα λαμβάνειν καὶ ὡς τὰ μὲν ὀρθὰ τῶν ζῳδίων ἐν πλείονι, τὰ δὲ πλάγια ἐν ἐλάσσονι ἀναφέρεται.

κδʹ. Ταῦτα εἰπὼν τῶν δώδεκα τόπων τοῦ θεματίου ὀνόματά τε καὶ

1 καθυπερτερεῖται. οἰκοδεσποτύται. 3 Cf. Porphyr., *Isagog.*, p. 193; *Catal.*, I, p. 157, 14. 6 ἀχρημάτιστα rectius Porph. 7 προαναιχθῶσιν cod. (χ ut vid. in λ corr.); cf. Porph. προαναφέρονται. 8 ἔσται τότε] αἰσθότε (*sic*) cod., corr. ex Porph. συχρηματίζων. 9 ἀπὸ κλίματος cod.; cf. Porphyr., *Isagog.*, p. 191. 10 επαναφωραι (τʹ supra) (*sic*) cod. 11 Βασιλέα] scil. Nechepso. 13 Cf. Porphyr., *Ibid.* μὲν add. 14 λιβυκόν. Epitomator Antiochum decurtavit, duobus climatibus omissis. 16 Cf. Porphyr., *Isagog.*, p. 194, ubi Antiochum auctorem laudat. 19 σπόριμον διαφώρους. 20 προκρίνειν. 22 Cf. Porphyr., *Ibid.* 24 ανηνεγμένας cod.; ἀνηγμένας Porphyr. 25 δρῶν. 27 εμπέσει. ἐκείνῳ. ὡροσκόπησε. 29 Cf. Porphyr., *Isagog.*, p. 194.

[1] Cf. supra p. 111, n. 2.

σημασίας καταλέγει [1]· οἷον ὡς ὁ ὡροσκόπος καὶ οἴαξ τοῦ βίου καὶ τῆς ζωῆς εἴσοδος, δηλωτικός τε ψυχῆς καὶ τρόπου καὶ ὅσα τοιαῦτα. τὸ δὲ ἐπαναφερόμενον αὐτοῦ ἐλπίδων τόπος καὶ τῶν συστοίχων· τὸ δὲ τρίτον ἀπὸ τούτου θεᾶς μὲν τόπος καλεῖται, φίλων δὲ σημαντικός ἐστιν καὶ τῶν ὁμοίων· τὸ δὲ δʹ, ὅ ἐστιν ὑπόγειον κέντρον, καλεῖσθαί φησιν οἰκίαν καὶ ἑστίαν, κειμηλίων τε καὶ εὐγενείας καὶ ἐγγαίων καὶ τῶν τοιούτων εἶναι σημαντικόν· ἀγαθήν τε τύχην τὸ ἀπὸ ὡροσκόπου πέμπτον καλεῖσθαι, ἐμψύχων τε κτῆσιν καὶ βιωτικῶν αὔξησιν πραγμάτων σημαίνειν· τὸ δὲ ςʹ δαίμονα μὲν καὶ πρόδυσιν καλεῖσθαι, μόχθων δὲ καὶ παθημάτων καὶ ἐχθρῶν εἶναι δηλωτικόν· τὸ δὲ ζʹ καὶ δυτικὸν κέντρον τῆς τελευταίας ἡλικίας καὶ τοῦ τέλους εἶναι σημαντικόν· τὸ δὲ ηʹ ἐπικατάδυσιν καὶ ἀργὸν καλεῖσθαι ζῴδιον· τὸ δὲ θʹ θεοῦ τόπον ἢ ἀπόκλιμα μεσουρανήματος, ἐκδημίας δὲ καὶ ξενιτείας εἶναι ἐνδεικτικόν. τὸ ιʹ δέ, ὃ καὶ μεσουράνημά ἐστιν, κορυφὴν μὲν βίου καλεῖσθαι, χρηματίζειν δὲ περὶ δόξης καὶ πράξεως καὶ τέχνης, μέσης τε ἡλικίας καὶ τύχης βιωτικῆς. τὸ δὲ ιαʹ ἐπαναφορὰ μὲν τοῦ μεσουρανήματος καλεῖσθαι καὶ ἀγαθὸν δαίμονα καὶ αὔξησιν σημαίνειν τῶν ἐσομένων. τὸ δὲ ιβʹ ἀπόκλιμα μὲν καλεῖσθαι καὶ δαίμονα καὶ ἀνάγκην, τὰ δὲ κατὰ τὴν κύησιν σημαίνειν καὶ μόχθους καὶ παθήματα· τινὲς δὲ καὶ χρηματίζειν αὐτὴν λέγουσιν.

κεʹ. Ὅτι τινὲς τὴν λεγομένην ὀκτάτοπον πρὸς τὴν [αὐτῇ] αὐτὴν σκέψιν ἐπραγματεύσαντο. καὶ τὸν μὲν ὡροσκόπον ζωῆς ἐκάλεσαν τόπον· ἐξ αὐτοῦ γὰρ τὰ περὶ ζωῆς θεωρεῖσθαι· τὸ δὲ ἐπαναφερόμενον τῷ ὡροσκόπῳ τὰ τῆς ζωῆς ἑπόμενα μηνύειν, τὸν δὲ τρίτον τόπον ἐκάλεσαν ἀδελφῶν, γονέων δὲ τὸ δʹ, τὸ δὲ εʹ τέκνων, τὸ ςʹ δὲ τῶν περὶ τὸ σῶμα σινῶν, τὸ ζʹ δὲ γάμου τόπον, τὸ ηʹ δὲ τῆς τελευτῆς καὶ διὰ τούτων τῶν ηʹ τόπων τὸν ὅλον τοῦ γενομένου σκέπτονται βίον.

κςʹ. Διαλαμβάνει δὲ καὶ περὶ τύχης, ὡς ἔνιοι καὶ ταύτην τοῖς προειρημένοις συνάπτουσιν, καὶ διέξεισιν ὅπως δεῖ τὸν τῆς τύχης κλῆρον θηρεύειν. ἀποδοκιμάζει δέ τινων περὶ ταῦτα διασκέψεις καὶ ὡς ἔνιοι καὶ δαίμονα τοῖς εἰρημένοις προσλαμβάνουσιν· ὅπως δεῖ περὶ αὐτοῦ πραγματεύεσθαι διέξεισιν, οἷς συνάπτειν φησὶν καὶ βάσιν καὶ θεμέλιον καὶ κλῆρον καὶ σίνος καὶ τίνος τούτων ἕκαστόν ἐστιν σημαντικόν.

κζʹ. Ἕτεροι δέ φασιν ὡς τῷ τῆς τύχης κλήρῳ καὶ ἑτέρους συνῆψαν τόπους· τὸν μὲν ἀπὸ τοῦ ὡροσκόπου, ὃν καὶ τὴν αʹ ἡλικίαν σημαίνειν· τὸν δὲ ἀπὸ τοῦ μεσουρανήματος, ὃν καὶ τὴν μέσην ἡλικίαν δηλοῦν· τὸν

6 κειμηλίων] θεμελίων habet Hermes. 8 κτῆσιν] κτίσην. 9 μόχθον. 10 ἐγχθρῶν. δυττηκόν. 17 δαίμοναν. 21 ὀκτατύπον cod.; cf. Manil., II, 969 et Bouché-Leclercq, *Astr. gr.*, 277 ss. αὐτη (*sic* cod.) del. Boll. 25 τῶν] τό. 27 τρόπων. 33 σίνους. 34 φησιν. 35 τρόπους.

[1] Haec ex Hermete Trismegisto habuit Antiochus; cf. supra p. 101, n. 1; p. 97, 17 ss.

δὲ ἀπὸ τοῦ δυτικοῦ κέντρου, ὃν καὶ τὰ τελευταῖα τοῦ βίου σημαίνειν· καὶ περὶ μὲν τῶν γ′ Ἑρμῆς[1]· τοὺς δὲ λοιποὺς τόπους ἐκ διαριθμήσεως καταλαμβάνεσθαι διδάσκει, οἷον τὸν περὶ τοῦ πατρὸς καὶ τὸν περὶ μητρός, ἔτι δὲ καὶ τὸν περὶ ἀδελφῶν καὶ τὸν περὶ ἀνδρὸς <καὶ> γυναικός, περί τε τέκνων καὶ μὴν καὶ τὸν περὶ φίλων καὶ τὸ τελευταῖον περὶ δούλων.

κη′. Καὶ ἄλλους δὲ ἄλλως φησὶν ποιήσασθαι αὐτῶν τὴν διαίρεσιν, ἐρεῖν δὲ αὐτὸν προϊόντος τοῦ λόγου τὸ ἀκριβέστερον.

κθ′. Λέγει δὲ ὡς οἰκοδεσπότης γενέσεως καὶ κύριος καὶ ἐπικρατήτωρ διαφέρουσιν ἀλλήλων. ἐπικρατήτορα μὲν γὰρ λέγει τῶν δύο φωστήρων ὃς μᾶλλον τῷ γενετῆρι διαθέματος ἐπικρατεῖ, καί τινας μὲν λέγειν ὡς ἡμέρας ὁ Ἥλιος ἐπικρατεῖ, νυκτὸς δὲ ἡ Σελήνη. τὸ δὲ ἀκριβὲς ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἐν τῷ ἀπηλιώτῃ τυγχάνοντος τοῦ Ἡλίου αὐτὸς καὶ τὴν ἐπικράτησιν ἔχει διὰ τὸ τῆς ἡμέρας ἄρχειν, ἀποκλίναντος δὲ αὐτοῦ ἡμέρας ἐπὶ λίβα, ἐὰν ἡ Σελήνη ἐν τῷ ἀπηλιώτῃ ᾖ, αὐτὴ ἐπικρατήσει· ὁμοίως δὲ κἂν ἐν τῇ ἐπαναφορᾷ τοῦ ὡροσκόπου αὕτη τύχῃ, τοῦ Ἡλίου ἀποκλίναντος ἐκ τοῦ ἀπηλιώτου, αὐτὴ τὴν ἐπικράτησιν ἕξει· ἀμφοτέρων δὲ αὐτῶν ἀποκεκλικότων ἐπὶ λίβα, ὁ ὡροσκόπος λήψεται τὴν ἐπικράτησιν. ἐπὶ δὲ νυκτερινῆς γενέσεως ἐὰν ἡ Σελήνη ἐν τῷ ἀπηλιώτῃ ἀναφέρηται, αὐτὴ λήψεται καὶ τὸ κράτος· ἐὰν δὲ εἰς λίβα ἀποκλίνῃ ὁ Ἥλιος <καὶ> ἔτι ὑπόγειος ὢν ἐπαναφέρηται τῷ ὡροσκόπῳ, αὐτὸς ἐπικρατήσει· ἐὰν δὲ ἄμφω ὑπόγειοι.......

<Βιβλίου β′ συγκεφαλαίωσις[2].>

Τοῦ δὲ δευτέρου κοινότερον μὲν εἰς δ′ τινα ἡ συγκεφαλαίωσις περικλείεται. <α′,> περί τε γὰρ θεοῦ γενέσεως, ὡς ἐκεῖνός φησιν, καὶ χρηματισμοῦ ἀστέρων διαλαμβάνει· β′, περὶ τῶν φωστήρων· γ′, περὶ κυρίου γενέσεως καὶ οἰκοδεσπότου· καὶ δ′, περὶ συγκράσεως καὶ τῆς λεγομένης ἐπιμαρτυρίας.

Ἰδικώτερον δὲ τὰ κεφάλαια ὡς ἂν εἴποι τις ἔστιν· ἐν τούτοις θεοῦ γένεσιν καὶ κατὰ τὴν τῶν παλαιῶν δόξαν γίνεσθαι λέγει, ἐν ᾗ οἱ ζ′ ἀστέρες ἐν ἰδίοις οἴκοις ἔτυχον ὄντες, ὡς οὐκ ἂν τοσοῦτον θνητῆς

2 Post Ἑρμῆς verbum deesse videtur. τρόπους. 3 τὸν] τῶν bis, prius τῶν ex τῆς corr. 4 τὸν] τῶν bis. καὶ suppl. 5 τῶν. 9 ss. Cf. Porphyr., *Isagog.*, p. 191. 10 λέγει ex λέγεται corr. 13 τυχάνων ὁ Ἥλιος. 18 ἀποκεκληκότων. 20 ἀναφέρεται. 21 ἀπὸκλήνει (*sic*). καὶ suppl. 22 Lacunam signavi: cf. Porphyr., *l. c.* Multa hic desunt. 23 In marg. τοῦ β′. Titulum supplevi. 25 α′ suppl. 31 οιδίοις. τοσοῦτον corr. : του$^{τ'}$ cod.

[1] De Hermeticis libris qui sortium diversas doctrinas exponebant cf. scholion ad Paul. Alexandr., L (ed. 1586).

[2] Incipit summarium secundi libri Εἰσαγωγικῶν Antiochi.

γενέσεως εὐτυχησάσης. ὑπόδειγμα· οἷον ὡροσκοπεῖ μὲν Καρκίνος ἔχων τὴν Σελήνην, ἀκολουθεῖ δὲ Ἥλιος Λέοντι ἐπέχων, εἶτα Ἑρμῆς ἐν Παρθένῳ, μεθ' ὧν ἐν Ζυγῷ Ἀφροδίτη καὶ Ἄρης ἐν Σκορπίῳ, ἐν Τοξότῃ δὲ Ζεὺς καὶ Κρόνος ἐν Αἰγόκερῳ, ἢ πάλιν ὡροσκοποῦντος Ὑδροχόου ἔχοντος Κρόνον, ἑπομένων δὲ Ἰχθύων μετὰ Διός, εἶτα Κριοῦ τὸν Ἄρην ἔχοντος καὶ Ταύρου μὲν τὴν Ἀφροδίτην, Διδύμων δὲ τὸν Ἑρμῆν καὶ Καρκίνου τὴν Σελήνην καὶ Λέοντος τὸν Ἥλιον· ἀλλὰ τὰς μὲν τοιαύτας γενέσεις θειοτέρας ἀξιοῦσθαι μοίρας φησίν, ἐγγίζειν δὲ ταύταις ὅσαι κατὰ πλείονα κοινωνοῦσιν, τὰς δὲ κατ' ὀλίγα διίστασθαι, τὰς δὲ κατὰ μηδὲν εἰς ἔσχατον δυστυχίας ἥκειν· καὶ ἐν τοῖς ἰδίοις δὲ ὑψώμασιν τοὺς ἀστέρας χρηματίζοντας λαμπρὰν τὴν γένεσιν, εἰ καὶ μὴ ὁμοίαν, σημαίνειν.

Οὕ<τω>ς καὶ τὸ περὶ φωστήρων β′ κεφάλαιον διαμερίζων κατασπείρει, ἄλλα τε λεπτολογῶν καὶ πρὸς διορισμοὺς οὐκ ἀκόμψους περὶ γενέσεως καταβαλλόμενος τῶν περὶ ταῦτα πονησάντων οὐκ ὀλίγων ἐπιμελέστερον, αὐτοῦ τε τοῦ γενομένου τά τε ψυχικὰ πάθη καὶ τὰ σωματικά, δι' ὧν ἔσται γνώριμος, ἀπαριθμῶν, καὶ ἐκτὸς δὲ δόξαν καὶ πλοῦτον καὶ ἀξιώματά φημι καὶ ἐπιτηδεύματα βίου, οὐ μὴν ἀλλὰ καὶ πατέρα καὶ μητέρα καὶ τέκνα τίνες τε ἔσονται καὶ τίνα τὸν βίον ἕξουσιν, ὅπως τε αὐτοὺς ὁ γενόμενος ἐπὶ τὸ ἄμεινον ἢ τὸ χεῖρον διαθήσει· πάντα ταῦτα καὶ τὰ τοιαῦτα περιεργαζόμενος ἐκτίθεται.

γ′ κεφάλαιον περὶ κυρίου γενέσεως καὶ οἰκοδεσπότου διατίθεται κἀν τούτῳ μὲν οὐδὲν ἔλαττον τὸν περὶ γενέσεως μεθοδεύων λόγον, τὸ ποικίλον δὲ τῶν ἀποτελεσμάτων ἐκ τῆς τῶν σχηματισμῶν ποικιλίας τῶν ἀστέρων διαπλέκων· φησὶν δὲ ὡς Νεχεψῶ τε τῷ βασιλεῖ, ᾧ καὶ Πετόσιρις συμφωνεῖ, ἐκ τῆς διασκέψεως τοῦ τε οἰκοδεσπότου καὶ τοῦ κυρίου εἰς κατάληψιν τὰ ζητούμενα πίπτει. καὶ γὰρ τὸν μὲν οἰκοδεσπότην τὸν ζωτικὸν ἀνθρώπων χρόνον, τὸν δὲ κύριον τῶν συγκηρεῖν μελλόντων τὸν βίον. ποικιλοῖ γοῦν τοὺς σχηματισμοὺς τούτων πρός τε τὰ κέντρα καὶ πρὸς τὰ ἀποκλίματα καὶ πρὸς τὰς ἐπαναφορὰς τῶν ζῳδίων, ἔτι δὲ καὶ πρὸς τοὺς ἄλλους ἀστέρας, ὅσοι τοῦ κυριεύειν καὶ οἰκοδεσποτεῖν κατ' ἐκεῖνον καιρὸν οὐ μέτεσχον, κἀκ τούτων φησὶν τὴν τῶν ἐσομένων λαμβάνεσθαι πρόγνωσιν.

Τὸ μὲν οὖν γ′ κεφάλαιον ἐν τούτοις, τὸ δὲ δ′ περὶ συγκράσεως καὶ τῆς λεγομένης ἐπιμαρτυρίας φιλοπραγμονεῖ, συντελούσης μὲν καὶ ταύτης τῆς ἐπιβολῆς ὁμοίως εἰς τὴν τῆς γενέσεως κρίσιν. [F. C.]

1 ὁρωσκοπεῖν. 6 Ταῦρος. 7 Καρκίνος. 9 πλεῖα. 10 ειαισχάτων (*sic*). 13 οὓς καὶ (*sic*) κατασπείρει (κατασπήρει cod.) vix sanum. 23 κἂν ταύτα cod. : dubitanter corr. 27 πίπτειν. 28-29 συγκηρεῖν cod. Leg. συγκυρεῖν? sed συγκηρεῖν fort. pro συγκηραίνειν dictum est; κηρόω « destruere » invenitur; deinde deest verbum velut σημαίνειν vel εἶναι. 29 ποικιλλοι cod.; cf. 103, 2; ποικιλόω deest in lexicis. 32 κατεκείνο καιροῦ. 35 συντελλούσης.

Ex Cosma Hierosolymitano.

Cosmae Hierosolymitani, episcopi Maïumae (743 p. C.), commentaria historica et mythologica in versus Gregorii Nazianzeni primus edidit Angelus Maius (*Spicil. Rom.* II, xv) ex codice Vaticano, qui solus, ut videtur, haec nobis conservavit. Maii editionem deinde repetiit Migne, *Patr. Gr.*, XXXVIII, col. 456 ss. Commentaria tamen illa ad hunc diem fere neglecta iacuerunt, quamvis multa nos doceant quae alibi frustra quaeras (cf. *C.-R. Acad. Inscript.*, 1911, p. 292 ss. et S. Reinach, *ibid.*, p. 333). Inter quae inprimis notabile est quod de Zoroastre et ceteris magis astrologiae peritis refert. Memoriam quam servavit summi esse pretii vel inde apparet quod forma nominis quae hic tradita est, Ζαραθρούστης[1], ad persicam *Zarathuštra* propius accedit quam ceterae omnes quae apud scriptores Graecos inveniuntur (Ζωροάστρης, Ζωρόαδος, Ζαράδης; Diod. Sic. I, 94, 2 solus habet Ζαθραύστης; v. Gauthiot, *Mémoires de la Société de linguistique*, XVI, 1910, p. 318). Itaque hoc excerptum inter testimonia nostra recipere visum est. — Maii editionem cum codice Vaticano 1260, ff. 80ᵛ (ol. 64) - 84ᵛ (ol. 72) sacerdos doctissimus Iohannes Mercati, qua semper est benignitate, petentibus nobis contulit.

Zoroastris, quae ferebantur, scriptorum astrologicorum fragmenta nonnulla in hoc catalogo (II, p. 192; V, 3, p. 87 s.) vel alibi (*Geopon.*, I, 7, 8, 10, 12, etc.) publici iuris facta sunt, et saepe Zoroastres et Hostanes inter auctores illius scientiae nominantur (*Catal.*, I, p. 81; II, p. 192 n.; Suid. s. v. Ἀστρονομία; Vettius Valens, IX, 13, p. 337, 4; cf. *Mon. myst. Mithra*, I, p. 33; Reitzenstein, *Poimandres*, p. 103; Bouché-Leclercq, *Astrol. gr.*, p. 52, 1 et passim). Sed nusquam, nisi apud Cosmam, progeniem Persici prophetae usque ad Hostanem persequimur. Non ignorabat qui haec scripsit, magorum arcanam scientiam a patre filiis traditam esse (Amm. Marc. XXIII, 6, 32, etc. Cf. Rapp, *ZDMG.*, XX, p. 70 ss.). Fontem huius loci, ubi astrologia cum paganorum religione arcte coniuncta est, Teucrum Babylonium esse suspicor, quem de decanis et de decanorum figuris disseruisse scimus (*Catal.*, VII, p. 193; cf. infra p. 122, n. 2); sed hanc coniecturam firmioribus argumentis fulciendam esse fateor. [F. C.]

Λεκτέον δὲ περὶ οὗ φασι ζῳοφόρου κύκλου. πρῶτος μὲν οὖν Ζαραθρούστης περὶ τούτου διεσκέψατο βάρβαρος ὤν, Ζάμης[2] δὲ μετὰ

1 Cod. Vatic. 1260, f. 82ʳ, l. 4. λεκτέον ex λεκταίον corr. φασὶν (ν in ras.).

[1] In alio loco c. ξδ′ (col. 491), f. 107 (olim 95) codicis, Cosmas dicit : Ἀστρονομίαν πρῶτοι εὑρηκέναι Βαβυλώνιοι διὰ Ζωροθρύστου (*sic* codex).

[2] Ζάμης Nini et Semiramidis filius fuit teste Eusebio; cf. Justi, *Iranisches Namenbuch* (1895), s. v.

τοῦτον καὶ Δαμοίτας[1] οἱ τούτου παῖδες, ἔπειτα Ὀροίησος[2] ὁ Δαμοίτου παῖς, ἑξῆς δὲ μετὰ τούτους Ὀστάνης. οὗτοι τὸν ζῳδιακὸν κύκλον διεῖλον εἰς οἴκους[3] καὶ θεοὺς καὶ συνοικεσίας καὶ διαφορὰς ἀέρων[4]· ἑπτὰ μὲν ἔδοξαν εἶναι θεούς, τὸν Ἥλιόν φημι καὶ τὴν Σελήνην καὶ τοὺς πέντε πλάνητας, ἐντεῦθεν ἑπτάχορδον καὶ τὴν λύραν ἱστοροῦντες[5]. φασὶ μὲν οὖν ἀΐδιον εἶναι θεὸν πάντων ὑπέρτατον ἐξ οὗ πάντας εἶναι τοὺς ἄλλους διαβεβαιοῦνται[6], τοὺς Τιτᾶνας[7] καὶ δαίμονας καὶ γηγενεῖς καὶ Κουρῆτας καὶ ἥρωας καὶ εἴδωλα θεῖα καὶ δαιμόνια τῶν ἀνθρώπων, ὥς φασι, βασιλεύοντα. ἑπτὰ μὲν ἐφόρους φασί, δι᾽ ὧν τὰ ἀποτελεσματικὰ συμβαίνει, Ἄρεα, Ἀφροδίτην, Δήμητραν, Διόνυσον, Ἀθηνᾶν, Ἥφαιστον, Ἄρτεμιν· τινὲς δὲ καὶ τὸν Ἀσκληπιὸν προστιθέασι τοῖς νοσοῦσιν ἐπαμύνοντα. ἄλλοι δὲ ζώνας ὀνομάζοντες τοὺς ἑπτὰ οὕτως ἀριθμοῦνται· Κρόνος, Ζεύς, Ἥλιος, Ἄρης, Ἀφροδίτη, Ἑρμῆς, Σελήνη. περὶ δὲ τῆς ζῳδιακῆς οἰκήσεώς φασιν εἰς ἓξ οἴκους διηρῆσθαι τοῦτον τὸν τρόπον· Κρόνου μὲν οἶκοι Αἰγόκερως καὶ Ὑδροχόος, Διὸς δὲ Τοξότης καὶ Ἰχθῦς, Ἄρεως Σκορπίος καὶ Κριός, Ἀφροδίτης Ζυγὸς καὶ Ταῦρος, Ἑρμοῦ δὲ Παρθένος καὶ Δίδυμοι, Ἡλίου δὲ Λέων καὶ Καρκίνος. σύνοικοι δὲ τούτων· Ἡλίου μὲν Ἀπόλλων, Ἑρμοῦ Μοῦσα, Ἀφροδίτης Ἀντέρως, Ἄρεως Ἄτη, Διὸς Ἥρα, Κρόνου Ῥέα. οὗτοι μὲν τούτων σύνοικοι ἐπὶ τῶν ἓξ ζῳδίων, οἷον Λέοντος, Παρθένου, Ζυγοῦ, Σκορπίου, Τοξότου, Αἰγόκερως· καὶ ἑξῆς Διὸς σύνοικος Ποσειδών,

3 συν..κεσίας 1 manu : συνοικεσίας m. 2 11 προστιθέασι ex -σιν corr. 13 Ἄρης add. in marg. m. 2. 14 διηρῆσθαι ex διηρεῖσθαι corr. 15 Αἰγόκερως] ω in ras. ὑδριχόος. 17 δίδυμος. 17-18 καρκῖνος. 18 Ἑρμοῦ] οῦ in ras. 21 ποσειδῶν] ει ex η corr. m. 2.

[1] Δαμοίτας nomen est Graecum (Theocr. *Id.* 6, 1), quod pro Persico substitutum esse videtur.

[2] Orhoises, Ὀροίτης, nomina sunt Persica; cf. Justi, p. 234.

[3] Cf. *Geopon.*, I, 12; Δωδεκαετηρὶς τοῦ Διός, καὶ ὅσα ἀποτελεῖ περιπολεύων τοὺς δώδεκα οἴκους τοῦ ζῳδιακοῦ κύκλου. Ζωροάστρου. Est dodecaeteris *Chaldaïca*; cf. supra p. 92, n. 1.

[4] Διαφοραὶ ἀέρων non hic dicuntur quae plerumque ἄνεμοι appellantur (e. g. Paul. Alex. B. 3), id est quattuor caeli regiones, sed de divisione circuli in triginta sex partes agebatur, cf. infra p. 122, l. 5.

[5] Cf. Orac. apud Euseb., *Praep. Evang.*, V, 14 (= Porphyrii, *De philos. ex orac. haur.*, p. 138 Wolff) : ... μάγων ὄχ᾽ ἄριστος | τῆς ἑπταφθόγγου βασιλεὺς ὃν πάντες ἴσασιν (sc. Hostanem); Philo Alex., *De opif. mundi*, 42 : Λύρα ἡ ἑπτάχορδος ἀναλογοῦσα τῇ τῶν πλανήτων χορείᾳ καὶ ἐλλογίμους ἁρμονίας ἀποτελεῖ.

[6] Lactantius Placidus, *In Stat. Theb.*, IV, 516: *Infiniti ... philosophorum, magorum Persae etiam confirmant revera esse praeter hos deos cognitos qui coluntur in templis alium principem et maxime dominum, ceterorum numinum ordinatorem, de cuius genere sint soli Sol et Luna*. Cf. quae congessi *Archiv für Religw.*, IX, 1906, p. 332 (*Iupiter summus exsuperantissimus*).

[7] Cf. *Oracula Sibyllina* (= Berosus), III, 110 (p. 54 Geffcken).

Ἄρεως Πλούτων, Ἀφροδίτης Ἵμερος, †Ἄρτεμις, Νεφέλη [Σελήνης μὲν οἶκος οὐκ ἔστι. κατὰ δὲ συμπάθειαν οὕτως· Ἡλίου σύνοικοι Λέων καὶ Καρκίνος] καὶ οὗτοι ἐπὶ τῶν ἄλλων ἓξ ζῳδίων, οἷον Ἰχθύων, Κριοῦ, Ταύρου, Καρκίνου, Διδύμων, Ὑδροχόου [1].

Τῶν δὲ διῃρημένων εἰς ἀέρας λϛʹ θεῶν τὰ ὀνόματά φασιν ὧδε [2]· Ἀϊδωνεύς, Περσεφόνη, Ἔρως, Χάρις, Ὧραι, Λιταί, Τηθύς, Κυβέλη, Πραξιδίκη, Νίκη, Ἡρακλῆς, Ἑκάτη, Ἥφαιστος, Ἶσις, Σάραπις, Θέμις, Μοῖραι, Ἑστία, Ἐρινύς, Καιρός, Νέμεσις, Νύμφαι, Λητώ, Καιρός, Λοιμός, Κόρη, Ἀνάγκη, Ἀσκληπιός, Ὑγίεια, Τόλμα, Δίκη, Φόβος, Ὄσιρις, Ὠκεανός, Δόλος, Ἐλπίς· ἀφ' ὧν ἑξήκοντα ἄλλους εἶναί φασιν, ἐκ δὲ τούτων τὴν ἄπειρον κίνησιν τοῦ ζῳοφόρου κύκλου καὶ τῶν πλανήτων. τὰς μὲν οὖν περὶ τούτων δόξας ὁ θεῖος Γρηγόριος συντόμως ἀνατρέπων (καὶ γὰρ ἐντεῦθεν τὰ ἀποτελεσματικὰ συμβαίνειν ἐφαντάσθησαν, ἀδιέκβατον ὁδὸν πλανηθέντες) ὧδέ φησιν ὅτι· « Τοῖς ἀστράσιν ἀστέρες εἰσὶν ἐναντίοι κ. τ. λ. ». [F. C.]

1-3 Verba corrupta: nam θεὸς σύνοικος Saturni deest. Fortasse <Κρόνου> Ἄρτεμις, <Ἑρμοῦ> Νεφέλη. Nota ex margine irrepsisse videtur. Postquam θεοὺς συνοίκους in sex prioribus zodiaci signis enumeravit scriptor, qui sint in sex posterioribus addit. 2 οὕτως ἡλίου in ras. 2 m. 4 διδύμου. Ordo turbatus. Exspectes Ὑδροχ., Ἰχθ., Κριοῦ, Ταύρου, Διδ., Καρκίνου. 5 ἀέρα : ἀέρας corr. Cf. supra p. 121, n. 4. 6 τιθύς. 7 ἴσις. 8 Καιρός alt.] Fort. Κόρος Boll. 9 λοίμη m. 1; λύμη corr. m. 2. Λοιμός corr. Boll; cf. Roscher, *Lexikon*, III, p. 2104, 22. Κόρη] φόρη cod.

[1] Doctrina de planetarum domibus quae hic Zoroastri tribuitur, fere eadem est quae apud Ptolemaeum et alios astrologos saepissime exponitur, nisi quod Sol praeter domicilium suum Leonem alterum quoque obtinet Cancrum, quem Lunae eripit. De diis autem consortibus qui in singulis signis cum planetis collocantur, nova atque inaudita hic proferuntur. Attamen duodecim signorum totidem deos tutelam gerere iam antiqui Chaldaei sicut et Aegyptii credebant; cf. Boll, *Sphaera*, p. 476 ss.

[2] Cui praesidi deo unusquisque triginta sex decanorum a Graecis attributus sit ex hoc uno excerpto discimus. Cf. Hermet. Trism. ap. Stob., *Eclog.*, I, 21 (p. 190 Wachsmuth). [Series incipere videtur ab Ariete; nam sic Osiris cum Aquario (cf. *Sphaera*, p. 175), Oceanus cum Piscibus, Charis cum Tauro (cf. Gruppe, *Burs. Jahresb.*, 137, 212), Hermes cum Cancro (cf. Eratosth., *Catast.*, c. 11), Themis et Hestia cum Virgine (cf. *Arch. für Religionswiss.*, XIII, 476 sq.), Erinys et Nemesis et Καιρός cum Libra, Leto cum Scorpione (cf. Hygin, *Astr.*, II, 26) apte consociantur; cetera explicare nondum contigit. — F. B.]

EXCERPTUM EX CODICE 35 (PARIS. GR. 2118)

Tonitrualis, quod edituri sumus, priorem partem e codice Italico 20, in quo cetera desiderantur, iam ediderunt Bassi et Martini (*Catal.*, IV, p. 172-173). — Cum hoc excerpto tonitrualia codicibus Paris. **44**, f. 427 et **53**, f. 163v tradita artissimo cohaerere vinculo apparet. Eandem doctrinam et in opusculo *Catal.*, IV, p. 128-131 edito (contractiore tamen forma atque tot et tantis inquinata corruptelis, ut verba locis haud paucis intellectu careant) et in Davidis tonitruali infra ex codice **44**, f. 325v excerpto reperies. Quae omnia ab archetypo tonitrualis [1], quod cod. **44**, ff. 441-447 servatum infra edetur, magna quidem ex parte originem ducere videntur.

[P. 77.] Ἑρμηνεία τοῦ βροντολογίου τῶν δώδεκα μηνῶν.

Μὴν Ἰανουάριος ἔχει ἡμέρας λαʹ, ἡ ἡμέρα δὲ ὥρας ιʹ καὶ <ἡ> νὺξ ὥρας ιδʹ. ἐὰν βροντήσῃ, σῖτος ἔσται πολὺς καὶ κλαίοντες αὐτὸν δαπανήσουσιν. εἰ δὲ σεισμὸς γένηται, πόλεμον σημαίνει.

Μὴν Φεβρουάριος ἔχει ἡμέρας κηʹ, ἡ ἡμέρα ὥρας ἔχει ιαʹ, ἡ νὺξ ιγʹ. ἐὰν βροντήσῃ ἐν ἡμέρᾳ, φθορὰν τετραπόδων δηλοῖ. εἰ δὲ σεισμὸς γένηται, ἰσχὺς ἔσται ἐν τοῖς λαοῖς. εἰ δὲ κεραυνὸς πέσῃ ἢ ὁμίχλη εἰς τὸν οὐρανὸν ἀνέλθῃ, ἀγαθὸν τοῖς καρποῖς δηλοῖ. ἐὰν δὲ ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, πτῶσις ἔσται τῶν καρπῶν.

Μὴν Μάρτιος ἔχει ἡμέρας λαʹ, ἡ ἡμέρα ἔχει ὥρας ιβʹ καὶ ἡ νὺξ ὁμοίως ιβʹ. ἐὰν βροντήσῃ καὶ μὴ βρέξῃ, ἀποβολὴν ἀνθρώπων σημαίνει. ἐὰν δὲ ἡ Σελήνη αἱματώδης φανῇ, σῖτος ἔσται πολύς. ἐὰν δὲ σεισμὸς [p. 78] γένηται, σπέρματα πολλὰ γενήσεται, πόλεις δὲ καὶ παραθαλάσσια κινδυνεύσουσιν· ἐὰν δὲ τὴν νύκτα ἀστὴρ εἰς τὴν γῆν πέσῃ, βασιλεὺς τοὺς περὶ αὐτὸν διαφθερεῖ. τῇ δὲ ἡμέρᾳ ἐὰν φανῶσιν ἀστέρες, κατα-

1 τῶν δώδεκα μηνῶν: τὸ μηναῖον N(eapolitanus): τοῦ μηνιαίου B(assi)-M(artini). 2 ἰαννουάριος N. δὲ om. N. καὶ om. N. ἡ ex N restitui. 5 φευρουάριος P(arisinus). alterum ἔχει om. N. νὺξ <ὥρας> N. 7 ἐν om. N. πέσῃ om. N. ὁμίχλη <καὶ> N. 8 ἀπέλθῃ N. ἀγαθὰ N. 9 τῶν om. N. 10 alterum ἔχει om. N. καὶ om. N. ὁμοίως: ὥρας N. 11 δὲ 1a man. in marg. P. 13 γενήσονται N. παραθαλασσίαι N. 14 τῇ νυκτὶ B-M. ἀστὴρ : ὕδατα in tonitruali *Catal.*, IV, p. 128,5. βασιλεῖς N. 15 τοὺς om. N. αὐτὸν scripsi : αὐτὸν P : αὐτῇ N : αὐτὴν B-M. διαφθείρει N : διαφθαρήσεται B-M.

[1] Quaedam in illo tonitruali exciderunt, quae hic servantur : e. gr. p. 124, 21.

σφαγὴ γενήσεται. εἰ δὲ σεισμὸς γένηται, πόλεμον, ταραχὰς ἐχθρῶν καὶ ἐπαναστάσεις σημαίνει.

Μὴν Ἀπρίλιος ἔχει ἡμέρας λ', ἡ ἡμέρα ἔχει ὥρας ιγ', ἡ νὺξ ια'. ἐὰν βροντήσῃ, σῖτος ἔσται πολὺς καὶ κλαίοντες αὐτὸν δαπανήσουσι. εἰ δὲ σεισμὸς γένηται, πόλεμον δηλοῖ· πόλεις δὲ καὶ παραθαλάσσια εὐφορήσουσιν. ἐὰν δὲ ἡ Σελήνη ἐκλίπῃ, ἀνθρώπων φθορὰν σημαίνει.

Μὴν Μάϊος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιδ', ἡ νὺξ ι'. ἐὰν βροντήσῃ, ἀκαταστασίαν ἀνθρώπων δηλοῖ καὶ τῷ κόσμῳ ταραχὴν καὶ φθορὰν τετραπόδων σημαίνει καὶ ἀνδρῶν δυναστῶν ἀναίρεσιν. εἰ δὲ σεισμὸς γένηται, λοιμὸς κτηνῶν ἔσται καὶ ὑετῶν σπάνις. ἐὰν δὲ ἡ Σελήνη ἐκλίπῃ, λιμὸν σημαίνει. ἐὰν δὲ πρὸ [τῶν] τεσσάρων καλανδῶν Ἰουνίου σεισμὸς γένηται, ἀγαθὰ μετ' εἰρήνης σημαίνει.

Μὴν Ἰούνιος ἔχει ἡμέρας λ', ἡ ἡμέρα [p. 79] ἔχει ὥρας ιε', ἡ νὺξ ὥρας θ'. ἐὰν δὲ βροντήσῃ, σίτου εὐφορίαν δηλοῖ καὶ ἀνδρῶν δυναστῶν ἀπώλειαν. ἐὰν δὲ καὶ σεισμὸς γένηται, καύματα γενήσονται. εἰ δὲ καὶ ἡ Σελήνη αἱματώδης φανῇ, σίτου διαφθορὰ ἔσται.

Μὴν Ἰούλιος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιδ', ἡ νὺξ ὥρας ι'. ἐὰν βροντήσῃ, χάλαζαν σημαίνει καὶ εὐφορία ἔσται καὶ μέγιστος ἀνὴρ ἀποθανεῖται. εἰ δὲ σεισμὸς γένηται, θόρυβον ἀνθρώπων καὶ τυράννων ἀναίρεσιν δηλοῖ. ἐὰν δὲ καὶ ὁμίχλη εἰς τὴν γῆν πέσῃ, τοῦ ἡγεμόνος ἀποστασία ἔσται. ἐὰν δὲ θύωνται κτήνη καὶ χολὴ εἰς αὐτὰ μὴ εὑρίσκεται, λοιμὸς ἀνθρώπων <ἔσται>.

Μὴν Αὔγουστος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιγ', ἡ νὺξ ια'. ἐὰν βροντήσῃ, συμφορὰ ἔσται τῇ χώρᾳ διὰ πολλῶν θορύβων. ἐὰν δὲ ἀπὸ δυσμῶν βροντήσῃ, ὁ καρπὸς ὑπὸ θηρίων βρωθήσεται. εἰ δὲ ἀνυδρία γένηται, ὕστερον πολλὰ ὕδατα ἔσονται καὶ ἀνὴρ μέγας ἀπολεῖται. ἐὰν δὲ ἦχος ἐκ τῆς γῆς γένηται, λιμὸν καὶ φθορὰν σημαίνει. ἐὰν δὲ ἐν τῇ ἡμέρᾳ ἀστέρες φανῶσιν, ἀνδρῶν μεγάλων σφαγὴν σημαίνει. εἰ δὲ σεισμὸς γένηται, φόβον καὶ στενοχωρίαν δηλοῖ καὶ λοιμὸν [p. 80] τετρα-

1 δὲ <καὶ> N. πολέμου ταραχὰς <καὶ> N. 3 ἀπρίλλιος N. alterum ἔχει om. N. νὺξ <ὥρας> N. 5 παραθαλασσίαι N. 6 ἡ : καὶ N. ἐκλίπῃ scripsi : ἐκλείπῃ P : ἐκλείψει N : ἐκλείψῃ B-M. 7 alterum ἔχει om. N. <καὶ> ἡ νὺξ <ὥρας> N. 8 τὸν κόσμον N : τοῦ κόσμου B-M. 9 δυνατῶν hic et infra coni. Boll. 10 λιμός N. ὑετοὶ σπάνιοι N. 10-11 ἡ Σελήνη : τὸ φέγγος N. 11 ἐκλίπῃ scripsi : ἐκλείπῃ P : ἐκλείψει N : ἐκλείψῃ B-M. λιμὸν scripserunt B-M : λιμῶν N : λεῖμὸν P : λοιμὸν dubitanter proposuerunt B-M. τῶν uncinis seclusi. 11-12 καλανδῶν Ἰουνίου scripsi : ἡμερῶν ἰανουαρίου P : ἡμερῶν ἰαννουαρίου N. 13 ἡ ἡμέρας P. alterum ἔχει om. N. 14 δὲ om. N. σίτος εὐφορία N. δηλοῖ om. N. 15 ἀπώλιαν P : ἀπώλεια N. ἐὰν δὲ καὶ : εἰ δὲ N. <μέγιστα> καύματα N. γενήσον N. καὶ ἡ om. N. 16 αἱματώδης B-M : αἱματώδεις P : αἱματωδίαν N. διάφορὰ P. 17 ἰούλλιος N. alterum ἔχει om. N. 19 ἀποθανεῖται : τελευτήσει N. θόρηβον N. 20 καὶ om. N. ὁμίχλυν N. ἡγεμόνος : ἡγουμένου N. 21 ἀποστασίαν N. θύονται P. <τὰ> κτήνη N. μὴ : οὐχ N. 22 λιμὸς N. ἔσται ex N restitui. 23 alterum ἔχει om. N. νὺξ <ὥρας> N. 24 ἐὰν δὲ : εἰ δὲ N. 25 ὁ καρπός... (p. 125, 25) δηλοῖ. — Τέλος om. N.

πόδων καὶ ἀρχόντων φυγάς. ἐὰν δὲ ἀπὸ πρώτης ἡμέρας Αὐγούστου ἕως πρὸ η' καλανδῶν σεισμὸς γένηται, ὑπὸ βιαίων ἀνδρῶν μεγάλων πόλεμος ἔσται.

Μὴν Σεπτέμβριος ἔχει ἡμέρας λ', ἡ ἡμέρα ἔχει ὥρας ιβ' καὶ ἡ νὺξ ὁμοίως. ἐὰν βροντήσῃ, σίτου εὐφορίαν δηλοῖ. ἐὰν ὑετὸς ἐπακολουθήσῃ, τοῦ σίτου καιρὸς ἔσται. ἐὰν ἦχος ἐκ τῆς γῆς γένηται ** ἀπὸ πρωῒ καλανδῶν Σεπτεμβρίου καὶ πρὸ τριῶν καλανδῶν Ὀκτωβρίου μηνὸς εὐετηρίαν καὶ εἰρήνην δηλοῖ, τῶν δὲ κτηνῶν φθοράν. ἐὰν δὲ οἰκίας οἰκοδομουμένης σεισμὸς γένηται, οὐ συμφέρει τῷ οἰκοδομοῦντι· ἄλλος γὰρ αὐτῆς κυριεύσει.

Μὴν Ὀκτώβριος ἔχει ἡμέρας λα', <ἡ> ἡμέρα ἔχει ὥρας ια', ἡ νὺξ ιγ'. ἐὰν δὲ βροντήσῃ, σίτου ἀπώλειαν δηλοῖ, οἴνου καὶ ἐλαίου πλησμονήν. ἐὰν δὲ ὁμίχλη εἰς τὴν γῆν πέσῃ, σίτου εὐφορίαν δηλοῖ. εἰ δὲ σεισμὸς γένηται ἀπὸ ὥρας πρώτης ἕως μεσονυκτίου εἴτε πρωΐ, θόρυβον ἀπὸ τῶν ἐξεναντίων σημαίνει.

Μὴν Νοέμβριος ἔχει ἡμέρας λ', ἡ ἡμέρα ἔχει ὥρας ι', ἡ νὺξ ιδ'. ἐὰν βροντήσῃ, σῖ[p. 81]τος πολὺς ἔσται καὶ μέγας ἀνὴρ ἀνόμως τελευτήσει καὶ θόρυβον σημαίνει καὶ τῶν ἀπὸ δύνοντος δυναστῶν ἀπώλειαν. ἐὰν δὲ ἦχος ἐκ τῆς γῆς γένηται, φυγὴν ἀρχόντων δηλοῖ καὶ ὁ σῖτος ὑπὸ θηρίων βρωθήσεται ἢ χαωθήσεται.

Μὴν Δεκέμβριος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας θ', ἡ νὺξ ιε'. ἐὰν βροντήσῃ, θάνατον μεγάλων ἀνδρῶν σημαίνει· τοῦ οἴνου κάκωσις ἔσται. εἰ δὲ σεισμὸς γένηται, χαρὰ πολλὴ καὶ ἀγαθοσύνη καὶ ἡ χώρα θόρυβον ἕξει. ἐὰν δὲ περὶ τὸν Ἥλιον γένηταί τι, τὸ σύνολον αὐχμηρίαν δηλοῖ. εἰ δὲ πρὸ θ' καλανδῶν ἢ ι' σεισμὸς γένηται, φθορὰν θρεμμάτων δηλοῖ. — Τέλος.

1 ἀπὸ πρώτης ἡμέρας scripsi : πρὸς πρώτην ἡμέραν P; cf. *Catal.*, IV, p. 129, 33. 2 πρὸ η' scripsi coll. *Catal.*, IV, p. 129, 34 : πρωῒ P. 6 καιρὸν P. lacunam significavi; cf. enim quae in tonitruali infra ex cod. 44, f. 441 edito leguntur. 7 pro καὶ an ἕως? 9 οἰκοδομουμένης scripsi : οἰκοδομοῦμεν P. 11 ἡ addidi. 12 σίτου scripsi coll. in tonitruali cod. 44, f. 427 σίτου σπάνης [*sic*] : τόπου P. 13 cf. σίτου ἔσται ἀφορία cod. 44, f. 441; ἀφορία ἔσται in Melampodis lunario (*Catal.*, IV, p. 112, 14).

EXCERPTUM EX CODICE 38 (Paris. gr. 2180)

Bothri philosophi ad regem Persarum epistula de vulturis virtutibus.

Bothri epistula codicibus Paris. 4 [Paris. gr. 2419], f. 153; 38, f. 100 servatur. Quanquam in utroque codice nonnullis locis, maxime epistulae initio, eadem traduntur, complura tamen eorum quae praebet alter in altero non invenias, ita ut epistulae utraque forma ex ampliore scriptura contracta esse videatur. Ideo utramque scripturam edendam esse censui. — De Bothro nihil compertum habeo. Cuius epistulam cum libro, qui Cyranides (vel potius Κοιρανίδες; cf. Serruys, *Revue de philologie*, XXXII, 1908, p. 158) inscriptus est, maximam partem consentire ex adnotationibus meis satis demonstratur.

[Cod. 38, f. 100.] Σοφοῦ τινος Βόθρου πρὸς βασιλέα. [Σοφοῦ τινος Βόθρου βασιλέως πρὸς βασιλέα.]

Πολλοὶ τῶν ἀνθρώπων ἀγνοοῦσιν, ὦ βασιλεῦ, πῶς καὶ οἷα ἡ τοῦ γύπου ἀνατομὴ γίνεται πρὸς θεραπείαν καὶ εὐρωστίαν τῶν ἀνθρωπείων σωμάτων, μὲ τριῶν ὀξέων καλάμων τεμνόμενος μήτινος θεωροῦντος· ἐπιλέγεται δὲ ὁ σφάττων αὐτὸν τὰ τρία ὀνόματα τῶν ἀγγέλων, Ἀδαμαήλ, Ἐλχωή, Ἀβράκ· διὰ γὰρ τῶν τριῶν ὀνομάτων τούτων ὅλος τελειοῦται. τὸ γὰρ ὀστέον τῆς κεφαλῆς αὐτοῦ κοπὲν καὶ βληθὲν εἰς δέρμα ἐλάφου καὶ περιτιθὲν εἰς τὴν κεφαλὴν τοῦ ἀνθρώπου ἰᾶται πᾶσαν κεφαλαργίαν. τὸ δὲ αἷμα αὐτοῦ μίξας μετὰ κεδρέας, ψώραν, λέπραν καὶ κελεφοὺς θεραπεύει. ἡ δὲ καρδία αὐτοῦ † ἐνδιδὲν εἰς δέρμα λύκου, † ἐν δεκονήσει καὶ πρᾶξιν ποιεῖ. εἰ δὲ καὶ ἐν δεξιῷ βραχίονι βασταζόμενος καὶ εἰς ληστὰς ἐὰν πέσῃ, ὡς θεὸν προσκυνοῦσι. ** τὰ

1 alteram tituli formam (cf. p. 127, 11), eadem manu atque prior scriptam, uncinis inclusi. 3 ἡ : οἱ cod. 4 γύπου; intell. γυπός. 5 τεμνώμενος cod.; intell. τεμνομένου. 6 intell. ἐπιλέγει. 7 ὅλος; intell. ὅλως vel potius ὅλα. 8 τὸ γὰρ ὀστέον etc.; cf. *Les Lapidaires*, II, ed. de Mély-Ruelle, p. 82, 20; 86, 23; v. infra p. 127, 19. 9 intell. περιτεθὲν. 10 intell. κεφαλαλγίαν. τὸ δὲ αἷμα etc.; cf. *Lapid.*, p. 82, 23? intell. κεδρίας 11 ἡ δὲ καρδία etc.; cf. *Lapid.*, p. 83, 8; 87, 1. ἐνδιδὲν; intell. ἐνδεθεῖσα; cf. *Lapid.*, *l. c.* 12 ἐν δεκονήσει *sic* cod.: ἔνδον ὀνήσει coni. Cumont: ἐν διακονήσει et unius verbi lacunam Boll; an νίκην scribendum coll. *Lapid.*, p. 87, 3 νικητικός? 13 βασταζώμενος cod.; intell. βαστάζεται. πέσει cod.; intell. πέσῃ <τις>. lacunam significavi; supple e. g. ἐὰν δὲ εἰς θηρία.

θηρία πάντα ὑπὸ γῆν φεύγουσιν. τὰ ἔντερα αὐτοῦ δεθὲν εἰς **, ἰσχιατικοὺς καὶ νεφριτικοὺς πόνους ἰᾶται. τὸ ἀξούγκην αὐτοῦ ἀλειφόμενον παραλυτικοὺς ἰᾶται. τὰ πτερὰ αὐτοῦ εἰς πολλὰ χρησιμεύουσιν, καὶ γυνὴ ἐν γαστρὶ ἔχουσα καὶ μὴ δυναμένη τεκεῖν, τίθει τὸ πτερὸν αὐτοῦ εἰς τὸν ἀριστερὸν πόδα ὑποκάτω αὐτῆς καὶ παραυτίκα τέξεται· καὶ εὐθέως ἔπαρον τὸ πτερόν. καὶ οἱ πόδες καὶ οἱ ὄνυχες αὐτοῦ παραφυλαττόμενοι εἰς τὸν οἶκον καὶ εἰς πραγματείαν ὡς φάρμακα γίνονται· ἐνεργοῦσι γάρ, κἂν θέλεις κἂν μὴ θέλεις· εἰ δὲ θέλεις, ταχέως τὸ πράσσιμον γίνεται πρασσόμενον· ἐὰν δὲ θέλεις ἐγκῦσαι, αὐτὸ μὲ τοῦ ποδὸς τὸ ὀνύχην εἰς χρόνον παρέρχεταί σοι.

[Cod. 4, f. 153.] Βόθρου βασιλέως Περσῶν περὶ ὠφελείας πολλοῖς τῶν ἀνθρώπων ἐκ τοῦ γυπός.

Πολλοὶ τῶν ἀνθρώπων ἀγνοοῦσιν, ὦ βασιλεῦ, πῶς καὶ οἷα τοῦ γυπὸς ἀνατομὴ γίνεται πρὸς θεραπείαν καὶ εὐρωστίαν τῶν ἀνθρωπίνων σωμάτων. ὥστε σφάζεσθαι αὐτὸν μετὰ ὀξέος καλάμου· ὁ δὲ σφάζων αὐτὸν ἔσται μόνος καὶ παρὰ μηδενὸς θεωρούμενος καὶ ἵνα λέγῃ τῶν τριῶν ἀγγέλων τὰ ὀνόματα ἐν τῷ σφάζειν αὐτόν· Ἀδαμανέλ, Ελωήλ, Βαβριήλ· δι᾽ αὐτῶν γὰρ τῶν ὀνομάτων τῶν τριῶν ὅλως τελειοῦνται. τὸ γὰρ ὀστέον τῆς κεφαλῆς αὐτοῦ κοπὲν καὶ βληθὲν εἰς δέρμα ἐλάφου καὶ περιτιθὲν τῇ κεφαλῇ τοῦ ἀνθρώπου κεφαλαλγίαν καὶ ἡμικρανίαν θεραπεύει, καὶ ἀγάπην ὑπερβάλλουσαν ποιεῖ πρὸς ὑπερέχοντας. ὁ ἐγκέφαλος αὐτοῦ μετὰ ἐλαίου λευκοῦ εἰς τὰς ῥῖνας ἐμφυσώμενος τὰς ἀπὸ ψυχρᾶς κεφαλαλγίας θεραπεύει. ὀφθαλμοὺς τυλισσομένους δὲ ἐμβάλλεται εἰς δέρμα χοίρου καὶ ὀφθαλμοὺς καθαίρει. ἡ γλῶσσα αὐτοῦ εἰς δέρμα λέοντος ἐμβαλλομένη ἀνθρώπους ὑποτάσσει καὶ ὀργὴν βασιλέως παύει. τὸ ἧπαρ αὐτοῦ μετὰ τοῦ ἰδίου αἵματος ἐπὶ τρεῖς ἑβδομάδας δαιμονιῶντας καὶ σεληνιαζομένους ἰᾶται. ὁ δεξιὸς αὐτοῦ βραχίων βασταζόμενος ἐὰν εἰς ληστὰς ἐμπέσῃ, ὡς θεὸν αὐτὸν προσκυνήσωσιν.

1 intell. δεθέντα. lacunam significavi; cf. quae in cod. Paris. 42 (v. *Revue de Philologie*, XXXIV, 1910, p. 68-70), f. 62v leguntur: τὰ δὲ ἔντερα αὐτοῦ ἑφθὰ μετὰ ἅλατος βρωθέντα πόνον κοιλίας καὶ κοιλιακοὺς ἄκρως ἰῶνται. 2 τὸ ἀξούγκην etc.; cf. *Lapid.*, p. 86, 28. 3 τὰ πτερὰ etc.; cf. *Lapid.*, p. 83, 17. 6 οἱ πόδες etc.; cf. *Lapid.*, p. 83, 25; 87, 10. 8 πράσιμον cod.; intell. πράξιμον. 9 αὐτῷ cod. ὠνύχην cod. 11 cf. supra, p. 126, 1. 12 πολλεῖς cod. 16 λέγει cod. 18 intell. ὅλα. 19 τὸ γὰρ ὀστέον etc.; cf. *Lapid.*, p. 82, 20; 86, 23; v. supra p. 126, 8. 20 περιτιθὲν; cf. supra p. 126, 9. 21 ὁ ἐγκέφαλος etc.; cf. *Lapid.*, p. 86, 25. 22 ενγκέφαλος cod. 23-24 intell. ὀφθαλμοὶ τυλισσόμενοι δὲ ἐμβάλλονται ... καὶ ... καθαίρουσι. 24 ἡ γλῶσσα etc.; ab iis dissentiunt quae leguntur in *Lapid.*, p. 83, 1; 87, 12; 276, 1. 26 τὸ ἧπαρ etc.; cf. *Lapid.*, p. 83, 3. 27 ὁ δεξιός etc.; cf. supra p. 126, 12.

EXCERPTUM EX CODICE 40 (Paris. gr. 2244)

De anonymo opusculo, ab initio mutilo, ex quo haec capitula excerpsi, vide quae supra p. 19-20 in codicis 40 descriptione ad f. 290 adnotavi.

[F. 290.] Περὶ γονέων.

Κατὰ μὲν Πτολεμαῖον ὁ πατὴρ ἔνδοξος καὶ λαμπρότατος καὶ χρόνιος ἔσται διὰ τὸ τὸν Ἥλιον καὶ τὸν τοῦ Κρόνου τοὺς τῷ πατρικῷ προσώπῳ συνοικειουμένους ὑπὸ τῶν ἀγαθοποιῶν ἐπιθεωρεῖσθαι τοῦ τε Διὸς καὶ τῆς Ἀφροδίτης, ἔτι δὲ καὶ διὰ τὴν τῶν φώτων ἐμπερίσχεσιν καὶ τὴν τῶν ἀστέρων δορυφορίαν. ἡ δὲ μήτηρ ἧττον ἔνδοξος καὶ πολυχρόνιος ἔσται διὰ τὸ παρ' αἵρεσιν τὴν Σελήνην ὑπὸ τῶν ἀστέρων δορυφορεῖσθαι τὴν τῷ μητρικῷ προσώπῳ μετὰ τῆς Ἀφροδίτης συνοικειουμένην. ὁμοίως δὲ καὶ κατὰ Δωρόθεον τὰ αὐτὰ ἔσται περὶ τοὺς γονεῖς.

Περὶ ἀδελφῶν.

Διὰ τὸ ἡμερινὴν εἶναι τὴν γέννεσιν γίνεται ὁ τῆς Ἀφροδίτης μητρικὸς ὡροσκόπος, ὡς εἶναι τὸν Καρκίνον μητρικὸν μεσουράνημα· ἐπαναφορὰ δὲ τούτου ὁ Λέων. ἔστι δὲ ὁ μὲν Καρκίνος ζῴδιον θηλυκόν, τροπικὸν καὶ πολύσπερμον, ὁ δὲ Λέων ἀρρενικόν, στερεόν, στειρῶδες. ἐπιθεωρεῖται τὸ μὲν μεσουράνημα ὑπὸ τοῦ Διὸς καὶ Ἀφροδίτης, συμπάρεστι δὲ αὐτῷ καὶ ὁ τοῦ Ἄρεως. τὸ δὲ ἐπαναφερόμενον ζῴδιον ἐπιθεωρεῖται ὑπό τε Ἀφροδίτης καὶ τοῦ Κρόνου, συμπάρεστι δὲ αὐτῷ καὶ ὁ τοῦ Ἑρμοῦ. ἔστι δὲ ὁ μὲν τοῦ Κρόνου ἐν ζῳδίῳ ἀρρενικῷ, στερεῷ, ὁ δὲ τοῦ Διὸς ἐν ζῳδίῳ θηλυκῷ, τροπικῷ, στειρώδει, ὁ δὲ τῆς Ἀφροδίτης ἐν ζῳδίῳ ἀρρενικῷ, ἰσημερινῷ, μονοειδεῖ, ὁ δὲ τοῦ Ἄρεως ἐν ζῳδίῳ τροπικῷ, θηλυκῷ, πολυσπέρμῳ, ὁ δὲ τοῦ Ἑρμοῦ ἐν ζῳδίῳ ἀρρενικῷ, στειρώδει. σημαίνεται δὲ ἐκ τούτων διὰ τὸ πλείονας λόγους ἔχειν τὸν Δία καὶ τὴν Ἀφροδίτην καὶ τὴν Σελήνην ἀδελφοὺς ἕξειν τρεῖς,

1 cf. Hephaest. II, 4; *Catal.*, II, p. 187; VIII, 2, p. 60. 2 Κατὰ : ..τὰ cod., in quo passim litterae atque voces foliis perscissis vel chartae particulis a compaginatore agglutinatis legi non possunt. Ptol., *Tetrab.*, Norimb., 1535, f. 29ʳ. 3 τοὺς ... συνοικειουμένους scripsi : τῶν ... συνοικειουμένων cod. 4 πρ..ωπω cod. 5 ἐμπερίσχυσιν cod. 9 cf. *Catal.*, VI, p. 95. 11 cf. Hephaest. II, 6; *Catal.*, II, p. 189; Ptol., *op. cit.*, f. 30ʳ. 14 cf. Hephaest., ed. Engelbrecht, I, 1, p. 52, 53. 17 συμπαρέστη cod. 18 συμπαρέστη cod. 19 Ἑρμοῦ scripsi : ἑρμῖου cod. 22 ἑρμῖοῦ cod. 24 ἕξει cod.

ἕνα μὲν ἄρρενα [f. 290ᵛ] διὰ τὸ τὸν Δία ἕνα λόγον ἔχειν ἠρρενωμένον κατὰ τὴν ἰδίαν φύσιν, δύο <δὲ θηλείας> διὰ τὸ τὴν Ἀφροδίτην καὶ τὴν Σελήνην ἔχειν λόγους τεθηλυσμένους.

Περὶ εὐτροφίας.

Ἐπειδὴ κεκεντρωμένον οὐδέτερον εὑρέθη τῶν φώτων, τῶν <δὲ> κακοποιῶν οὐδεὶς συνῆν, οὔτε μὴν κατ' ἰσοσκελίαν τις διεμήκιζε τῶν κακοποιῶν, ἔτι οὐδὲ οἰκοδεσπότης τῶν φώτων ἐν κακοποιῷ τόπῳ ἦν κατειλημμένος, τὸ γεννώμενον καὶ τραφήσεται καὶ χρόνον ἕξει. κατὰ δὲ Δωρόθεον οὕτως· ἡ Σελήνη μετὰ τοῦ κλήρου τοῦ δαίμονος τυχοῦσα εὔτροφον σημαίνει τὸ τεχθὲν καὶ ἀπόνως ἐκφυῆναι τοὺς ὀδόντας.

[F. 296ᵛ.] Περὶ μορφῆς καὶ κράσεως σωματικῆς.

Διὰ τὸ τὴν Ἀφροδίτην ὑπάρχειν ἐν Ζυγῷ καὶ τὴν Σελήνην ἐν Παρθένῳ ἀνατολικὰς ἄμφω καὶ τὴν ἀπόρροιαν ἐκ τοῦ Ἡλίου τὴν Σελήνην σωματικῶς ποιεῖσθαι, ἔσται τῇ μὲν κράσει ὁ γεννηθεὶς θερμότερος καὶ ὑγρότερος, ἧττον δὲ πρὸς τὸ θερμότερον ῥέπων, τῇ δὲ χροιᾷ λευκός, μεσόθριξ, μεσοφάλακρος, εὖρις καὶ σύμμετρος τῷ μεγέθει, ἐπὶ μέντοι τὸ μεγαλοπρεπέστερον καὶ εὐμορφότερον καὶ ἐπιχαριτώτερον <ῥέπων> καὶ χαροπὸς τοῖς ὀφθαλμοῖς μετ' ἀπρεπείας.

Περὶ σινῶν καὶ παθῶν.

Πάθος μὲν σωματικὸν ὁ γεννηθεὶς οὐχ ἕξει, σίνος δὲ περὶ ἀκοὴν εὐώνυμον καὶ περὶ τὰς τῆς κεφαλῆς φλέβας διὰ τὸ τὸν τοῦ Ἄρεως τοιούτων σινῶν εἶναι δηλωτικὸν καὶ κυριεύειν καὶ ἐπιβλέπειν τὸ δυτικὸν κέντρον, ὅπερ ἐστὶ κεφαλὴ τοῦ λοιποῦ σώματος.

Περὶ ποιότητος ψυχῆς.

Ἐπειδὴ ὁ τοῦ Ἑρμοῦ δηλωτικός ἐστι τοῦ λογικοῦ καὶ νοεροῦ μέρους τῆς ψυχῆς, εὑρέθη δὲ κύριος τοῦ τῆς Σελήνης τόπου ἐν

1 ἠρρενομένω cod. 2 φύσ.. cod. δὲ θηλείας inserui, coll. Ptol., *op. cit.*, f. 31, l. 6. 3 τ. τεθηλυμένους cod. 4 cf. Hephaest., II, 10; Ptol., *op. cit.*, f. 32. 5 δὲ inserui. 6 κακο.... cod. an οὐδὲ μὴν? 6-7 τῶν....ἔτι cod. 8 κατειλημμένος scripsi coll. Ptol., *op. cit.*, f. 32ᵛ, l. 8 : ....λελυμένος cod. ἕξ.. cod. 9 cf. *Catal.*, VI, p. 97. δαί..... cod. 10-11 ἐκφυῆναι....ὀδόντας cod. 12 cf. Hephaest., II, 12; Ptol., *op. cit.*, f. 36ᵛ. 14 ἀνατο.... cod. ἀπόριαν cod. 15 ποιεῖσ... cod. 16 πρὸ. cod. 17 εὔρι. cod.; εὐρὺς coni. Cumont. 18 καὶ prius : κα. cod. 19 ῥέπων addidit Cumont. χαροπὸν cod. ὀφθαλμοῖ. cod. 20 cf. Hephaest., II, 13; Ptol., *op. cit.*, f. 38. 22 εὐόνυμο. cod. τὸν : τῶν cod. 23 σι... cod. 24 κέντρ.. cod. 25 cf. Hephaest., II, 15; Ptol., *op. cit.*, f. 40. 26 ἑρμίου cod. 27 μέρου. cod.

στερεῷ ζῳδίῳ ἑστώς, ἔσται ἡ τῆς ψυχῆς αὐτοῦ ποιότης δικαία, ἀκολάκευτος, ἐπίμονος, βεβαία, συνετή, ὑπομονητική, φιλόπονος σκληρά, καὶ ὅσα τούτοις ἕπεται· ἡ δὲ Σελήνη σημαντικὴ οὖσα τοῦ ἀλόγου καὶ αἰσθητικοῦ μέρους τῆς ψυχῆς, εὑρέθη δὲ ἐν δισώμῳ ζῳδίῳ, ἔσται τῷ ἤθει ποικίλος, εὐμετάβολος, δυσκατάληπτος, ἐρωτικός, φιλόμουσος καὶ ὅσα τούτοις ἕπεται· πάλιν ἐπειδὴ ὁ τοῦ Ἑρμοῦ συσχηματίζεται τῷ τοῦ Κρόνου, ἔσται τῇ ψυχῇ φιλοπευστής, νομίμων ζητητικός, φιλίατρος, μυστικός, μέτοχος ἀπορρήτων, ἐντρεχής, διοικητικὸς πραγμάτων καὶ ἀγχίφρων [f. 297] ...... πικρὸς καὶ ἀκριβὴς καὶ ἐπιτευκτικός· διὰ δὲ τὸ τὴν Σελήνην αὐξίφωτον καὶ ἀνατολικὴν ὑπάρχειν, ταῦτα ἐπὶ τὸ εὐφυέστερον καὶ προφανέστερον καὶ βεβαιότερον καὶ παρρησιαστικώτερον γενήσονται.

Περὶ τύχης κτητικῆς.

Τὴν δὲ κτητικὴν τύχην ἐκ τοῦ τῆς τύχης κλήρου διαλαμβάνομεν καὶ ἐπειδὴ οὗτος ὑπό τε Κρόνου καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ οἰκοδεσποτεῖται, ἔτι δὲ καὶ ὑπὸ Διὸς ἐπιθεωρεῖται καὶ Ἑρμοῦ ἀμφότεροι τῆς ἡμερινῆς αἱρέσεως ὄντες, πρὸς τούτοις δὲ καὶ ἐπικέντρου τυχόντος αὐτοῦ μετὰ τοῦ ἰδίου οἰκοδεσπότου, λέγω δὴ τῆς Ἀφροδίτης, πολυκτήμονα ἔσεσθαι τὸν γεννηθέντα μηνύουσι καὶ ὁ μὲν Κρόνος διὰ θεμελίων ἢ γεωργικῶν ἢ ναυκληρικῶν, ὁ δέ γε τῆς Ἀφροδίτης διὰ φιλικῶν καὶ γυναικικῶν δωρεῶν, ὁ δὲ τοῦ Ἑρμοῦ διὰ λόγων καὶ ἐμποριῶν. ὁ δὲ Δωρόθεος καὶ ταῦτα προστίθησιν· ἐπειδὴ ὁ τοῦ Ἡλίου πρῶτος τριγωνικὸς δεσπότης, τουτέστιν ἡ Ἀφροδίτη, ἐπίκεντρος ἐν τῷ ὡροσκόπῳ ἔτυχεν ἰδιοθρονοῦσα ἐντὸς τῶν τοῦ ὡροσκόπου ιε΄ μοιρῶν, μέγεθος ἕξει τύχης ὁ γεννηθεὶς καὶ μάλιστα ἐν πρώτῃ ἡλικίᾳ. κλῆρος βίου Ὑδροχόου η΄ μοίρᾳ· ἐπειδὴ ὁ τούτου τοῦ κλήρου οἰκοδεσπότης Κρόνος ἐν καλῷ τόπῳ ἕστηκεν ἰδιοθρονῶν καὶ ὑπὸ τῆς Ἀφροδίτης τριγωνίζεται, τοῦ Ἄρεως ἀποστρόφου ὄντος, βίον καλὸν ἕξει καὶ πλοῦτον πολύν· οἱ ἀγαθοποιοὶ ἐπίκεντροι ἑστῶτες, ὡς νῦν Ἀφροδίτη καὶ Ζεύς, ἐπίχαριν ποιοῦσι καὶ ἐν δήμοις πίστιν διδόασι καὶ ἐχθρῶν καθαίρεσιν.

1 ζωδ.. cod. 2 ἐπίμονος : ἐπ.... cod. 3 σκηρὰ cod. τούτοις : το..... cod. 4 αἰσθητικο. cod. 5 ποικ.... cod. 6 τούτοις : το.... cod. ἑρμϊου cod. 7 συσχηματίζεται Cumont : σχηματίζεται cod. Κρόνου : κρ.... cod. 8 μυστικό. cod. 9 ἀγχίφ... cod. litterae evanidae; legitur ...περι(?); ἐμπειρικός? Boll. 13 cf. Hephaest., II, 17; Ptol., *op. cit.*, f. 45. 15 οὗτος : οὕτως cod. ἑρμΐου cod. 16 ἐπιθεωρεῖται Cumont : ὑποθεωρεῖται cod. ἑρμΐου cod. 16-17 nolui ἀμφοτέρων et ὄντων scribere. 21 γυναίκων [*sic*] cod. 22 Dorothei textum, ex quo haec hausta sunt, in *Catal.*, VI, p. 97 non invenies. 26 μοίρᾳ Cumont : μ (?) cod. 28 ὑποστρόφου cod.

Περὶ τύχης ἀξιωματικῆς.

Κατὰ μὲν Πτολεμαῖον ἔσται τὸ τεχθὲν ἐν ἀξιώμασιν ἐπιφανεστάτοις τε καὶ [f. 297v] λαμπροτάτοις διὰ τὸ τὰ μὲν φῶτα ἐν θηλυκῷ ζῳδίῳ ὑπάρχειν καὶ ἀποκεκλικέναι τοῦ ἀνατολικοῦ κέντρου, τοὺς δὲ δορυφοροῦντας αὐτὰ ἀστέρας τοὺς μὲν ἐπικέντρους εἶναι, τοὺς δὲ μαρτυροῦντας τοῖς κέντροις. κατὰ δὲ Δωρόθεον ἐὰν ὁ τῆς τύχης δεσπότης ἤγουν ἡ Ἀφροδίτη καὶ οἱ ἀγαθοποιοὶ ἐπὶ καλοῖς τόποις τύχουσιν εἶναι, καθάπερ ἐπὶ τῆς προκειμένης γενέσεως, βασιλέα καὶ δυνάστην ἔσεσθαι τὸν γεννηθέντα σημαίνει. ὅμως διὰ τὴν τῶν κακοποιῶν μαρτυρίαν ἕξει μετρίας ἐναντιότητας· μετρίας δὲ εἴπομεν ὅτιπερ οἱ κακοποιοὶ ὡς νῦν ἰδιοθρονοῦντες μέτριοι πρὸς κάκωσίν εἰσιν.

1 cf. Hephaest., II, 18; *Catal.*, VIII, 2, p. 81. 2 Ptol., *op. cit.*, f. 45r. 3 λαμπροτάτοι cod. 4 καὶ : κ.. cod. ἀποκεκληκέναι cod. 6 cf. *Catal.*, VI, p. 97. 8 τύχουσιν corrigere nolui.

EXCERPTA EX CODICE 41 (Paris. gr. 2256)

De plantis duodecim signis et septem planetis subiectis.

I

Opusculum de plantis duodecim signis subiectis ab Harpocratione ad « imperatorem » dicatum permultis codicibus traditur, qui in haec genera discedunt :

a) Scripturae formam antiquiorem unus praebet codex Matritensis 110, f. 75[M], anno 1474 a Constantino Lascari exaratus, imperfectam vero ut in medio de Cancro capitulo abrumpatur. Codicem descripsit et opusculi frustula publici iuris fecit Iriarte, ***R. bibliothecae Matritensis codd. graeci mss.***, p. 435. Prooemii maximam partem (p. 134, 1-139, 5) edidit Graux, ***Revue de Philologie***, II, 1878, p. 70 [= *Œuvres de Ch. Graux*, II, p. 99], a quo loca duo Riess, *Nechepsonis et Petosiridis fragmenta*, ***Philologus***, VI Supplem., p. 381, sumpsit.

b) Deterioris notae est opusculi forma altera, in qua prooemium initio decurtatum nonnullis in locis byzantinus quidam ita alteravit, ut verba distorquerentur (e. g. p. 137, 18 sqq.). Aliqua etiam verba, quae gentilitatem redolebant, mutavit (e. g. p. 137, 20 οἰκεῖον pro θεῖον posuit). Ceterum et in prooemio et in reliquo opusculo alia omisit, alia addidit (e. g. p. 139, 10). Accidit tamen ut lectiones optimas haec scriptura nobis servaverit. Quam Baehrius (Lydus, ***De mensibus***, ed. Roether, 1827, p. 313) ex codicibus Leidensi-Vossiano 8° 19 et Monacensi 542 miserrime edidit. Versio latina quae ***Herbarum singulorum signorum zodiaci demonstratio, necnon et stellarum errantium quae quid possit*** [*sic*] inscribitur, post Apuleii librum ***De herbarum virtutibus*** (ed. ap. Wechel, 1528, f. 35) iam prolata erat (cf. E. Meyer, ***Geschichte der Botanik***, II, p. 341). — Huius generis codices in tres familias distribuerim :

α) Codd. Parisinus gr. 2502 [Paris. 48], f. 1 [B], saec. XVI (cf. supra p. 72); Vindobonensis med. gr. 23 ol. 50, f. 1ᵛ [H], saec. XVI eadem manu atque Paris. 2502 exaratus et ex eodem codice descriptus (cf. supra p. 72); Leidensis-Vossianus 8° 19, f. 1 [G], saec. XV vel XVI, fine decurtatus (cf. ***Catalogum librorum bibliothecae universitatis Lugduno-Batavae***, 1716, p. 400; Roether, Lydus, ***De mensibus***, pp. XIV, 313). Qui codices cum his verbis incipiunt : Μακαρίας παρὰ θεῶν... (p. 137, 8).

β) Codd. Parisinus gr. 2256 [Paris. 41], f. 588ᵛ [A], saec. XV (cf. supra p. 22); Venetus App. cl. V. 13, f. 157 [D], saec. XV (cf. Mingarelli, ***Graeci codd. mss. apud Nanios asservati***, p. 438); Mosquensis 415 (in catal. Vladimir [1894, p. 725] numero 509 signatus), f. 72 [E], saec. XV, inde a p. 138, 2 deficiens, ex quo Pitra, ***Analecta sacra et classica***, V, p. 291, opusculi initium edidit. Qui codices cum his verbis incipiunt : Βασιλεὺς ἦν ὁ Νεχεψὼ... (p. 137, 14).

γ) Cod. Monacensis 542 [German. 14], f. 67 [F], saec. XVI (cf. *Catal.*, VII, p. 29;

Roether, *loc. cit.*), fine decurtatus, unus prooemii ne frustulum quidem servavit. Codici tamen Matritensi propius quam familiarum αβ codices Monacensem proximare et aliis in locis et in cuiusque capituli initio apparet.

Quae cum ita sint, scripturae formam codice M servatam, dum codex deficiat, editurus sum. Reliquam autem opusculi partem ex codice A, codicibus quoque BFG auxiliantibus, typis inde mandabo.

* * *

Unius et eiusdem Harpocrationis ***Cyranides*** et ***Opusculum de plantis duodecim signis subiectis*** esse apparet. Quem cum Alexandrinum codices, quibus ***Cyranidum*** forma recentior servatur, omnes fere praedicent (cf. ***Lapidaires***, II, ed. de Mély-Ruelle, p. 6, n. 3, 9, 10, 19; p. 227), opusculo tamen infra edito Harpocrationem ex Aegypto fortasse, non ex Alexandria quidem oriundum fuisse docemur (cf. infra p. 135, 12, 21-22, 24; 136, 1). Postquam in Asia grammaticae studuerat (cf. p. 135, 5), Alexandriam devectus, se totum et litteris et medicinae tradidit (cf. p. 135, 8, 10). Alexandriae tamen perdiu commoratus esse non videtur (v. enim p. 136, 1). — De tempore quo floruit multi iam disputaverunt. Iuliano imperatori (361-363) ***Opusculum de plantis*** hunc dicavisse Carolus Graux demonstrare conatus est. Cuius argumenta ***Cyranidum*** loco uno refelluntur (cf. Cumont, ***Klio***, IX, 1909, p. 267, n. 4). Harpocrationis enim prooemii reliquiis, quae in ***Cyranidum*** forma recentiore exstant, grammaticum Seleuciam ad Tigrim circumiisse docemur, in qua cum et alia, tum et praeclarum templum oculis perlustraverit (***Lapid.***, II, p. 4, 9-10, 19-20; p. 5, 6-7). Seleuciam autem anno 165 p. C. n. Cassium Lucii Veri legatum excidisse (cf. Dion. Cass., LXXI, 2; Amm. Marc., XXIII, 6, 24; XXIV, 5, 3), prorsus desertam anno 198 Septimium Severum (cf. Dion. Cass., LXXV, 9), anno 363 Iulianum (cf. Amm. Marc., XXIV, 5, 3) prospexisse accepimus. Quantumvis vero fabulosa Harpocrationis narratio videatur, quanquam Seleuciam grammaticum fallacem nunquam vidisse propius fidem est, Seleuciae tamen deletae fama per imperium romanum ita vulgata est, ut scriptor post annum 165 se Seleuciam celebrem et aedificiis exornatam circumiisse confingere non posset. Sequitur ut saeculo summum secundo p. C. n. Harpocrationem vixisse opinandum sit (cf. Cumont, *loc. cit.*). — Cuinam imperatori ***Opusculum de plantis*** dicatum sit, difficile iudicium videtur. Siquidem commenticiam nuncupationem astrologorum et magorum more libello suo Harpocratio non praescripsit, Hadriano imperatori, qui παραδόξοις tantum gaudebat (cf. Bouché-Leclercq, ***Astrologie grecque***, p. 557, n. 3; v. infra p. 134, 4; 135, 2), opusculum dicatum esse admodum credibile est. — Cum autem Harpocratio astrologus se in grammatica versari profiteatur (cf. p. 135, 5, 8), hunc eundem esse atque Valerium Harpocrationem, qui ***Lexicon decem oratorum*** conscripsit, omnes fere Ioanne Iriarte duce censuerunt. Quod quamvis credibile novis argumentis, ut mea fert opinio, fulciendum est [1].

[1] Harpocrationem grammaticum, quem Lucius Verus audivit (Capitolinus, ***Verus***, 2), ***Cyranides*** scripsisse haud incredibile videtur. Scriptorem utique nostrum Tertullianum (***De corona***, 7) laudare apparet.

* * *

Haec de plantis duodecim signis subiectis [1] opuscula mihi quidem innotuerunt [2]: Hermetis Trismegisti [3] (cf. Boll, *Catal.*, VII, p. 232); Nechepsonis (cf. Riess, *Philologus*, VI Supplementband, p. 381); Harpocrationis; [Orphei (cf. Wellmann, *Sitzungsberichte preuss. Akad.*, XXXIX, 1911, p. 838), qui cum Harpocratione paene ad verbumc onsentire videtur — F. B.]; anonymi [Salomonis?] (cf. Heeg, *Catal.*, VIII, 2, p. 159), qui de *Cyranidibus* haud pauca sumpsit; Thessali (cf. Diels, *Die Handschriften der antiken Aerzte*, II, 1906, p. 107; Boll, *Catal.*, VII, p. 231, n. 1; [Wessely, *Griech. Zauberpapyrus, Denkschr. der Wiener Akad.*, XXXVI, 1888, p. 98, v. 2140? — F. B.). Thessali operis, cuius versio latina tantum exstat, fragmentum graece conscriptum ex codice Vaticano gr. 1144, f. 243 olim edidi (*Mélanges d'archéologie et d'histoire*, XXVI, 1906, p. 351), quod hic recipere haud alienum videbitur. Cum Harpocratione (p. 138, 3 sqq.) Thessalum magnopere consentire animadvertes: Τὸ κώνειον ἡ βοτάνη ἐν μὲν Ἰταλίᾳ θανατωδέστατον, ἐν δὲ Κρήτῃ ἐδώδιμόν τε καὶ τροφιμώτατον, οὐκ ἀπὸ τοῦ μετάλλου, ἀλλ', ὡς ὁ Θεσσαλὸς ὁ ἀστρολόγος λέγει, ἀπὸ τῶν ἀστέρων· ἐπεὶ ὁ πλάνης ἀστὴρ ὁ τοῦ Ἄρεως κατὰ τοῦ Σκορπίου τὰς ἀκτῖνας ἀφίησιν, ὑφ' ὃ ζῴδιον ἡ Ἰταλία ξύμπασα κεῖται· ἔχων γὰρ τὸ κώνειον καὶ ἀπὸ φύσεως εἰς τὸ κακὸν δύναμιν, καὶ ἀπὸ τοῦ ἀστέρος εἰς τοῦτο ὀξύνεται· ἐν δὲ τῇ Κρήτῃ ὁ τοῦ Διὸς ἀστήρ, ἀκτινοβολῶν τὸ ὑφ' ὃ ἵδρυται αὕτη ζῴδιον, τὴν τῆς βοτάνης μεταποιεῖ ἰδιότητα.

[Matrit. gr. 110, f. 75.] Ἁρποκρατίων Καίσαρι Αὐγούστῳ χαίρειν.

Πολλῶν ἐπιχειρησάντων ἐν τῷ βίῳ, Σεβαστὲ Καῖσαρ, παραδοῦναι πολλὰ παράδοξα, μηδενὸς πρὸς τέλος ἀγαγεῖν τὰς ἐπαγγελίας δυνηθέν-

A (= Paris. gr. 2256 [41]) partim (p. 137, 14 - 143, 7) contuli, partim (p. 143, 8 sqq.) descripsi. **B** (= Paris. gr. 2502 [48]) contuli. **D** (= Venet. App. cl. V. 13) ex imagine photographica partim (f. 157r = p. 137, 14 - 139, 3) contuli. Codicis **E** (= Mosq. 415) varias lectiones de *Analectis sacris* (V, p. 291) a Pitra editis, codicis **F** (= Monac. 542) de Περὶ βοτανῶν χυλώσεως libelli editione a Baehrio instructa (Lydus, *De mensibus*, ed. Roether, p. 313-332) sumpsi. **G** (= Leidensis-Vossianus 8° 19) contuli. **H** (= Vindob. med. gr. 23 ol. 50) ex imagine photographica partim (ff. 1r-3v = p. 137, 8 - 141, 3) contuli. **M** (= Matrit. gr. 110) ex imagine photographica descripsi.

---

[1] Cf. Bouché-Leclercq, *L'astrologie grecque*, p. 535; Boll, *Catal.*, VII, p. 231; Heeg, *Catal.*, VIII, 2, p. 159, n. 1; [Lobeck, *Aglaophamus*, p. 910-911 — F. B.].

[2] Cf. in Frati et Segarizzi, *Catalogo dei codici marciani italiani*, p. 94: It. Z. 78; saec. XV; *Libro delle virtù delle erbe*... Incip. (f. 4a): *Questo libro si trata dele virtù delle 12 erbe soto poste alli 12 segni del çiello* etc.

[3] Capitulum brevissimum Hermetis Trismegisti nomine ornatum ex Harpocrationis opusculo vel ex illius fonte fluxisse apparet.

τος διὰ τὸν τῆς εἱμαρμένης ταῖς διανοίαις αὐτῶν ἐπικείμενον ζόφον, μόνος δοκῶ τῶν ἀπ' αἰῶνος ἀνθρώπων πεποιηκέναι τι παράδοξον. ἐπιχειρήσας γὰρ πράγμασιν, ἅπερ θνητῆς μέτρα φύσεως ὑπερβαίνει, τούτοις γε μετὰ πολλῶν βασάνων καὶ κινδύνων τὸ καθῆκον τέλος ἐπέθηκα. ἀσκήσας <γὰρ τὴν> γραμματικὴν ἐπιστήμην ἐν τοῖς τῆς Ἀσίας κλίμασι καὶ πάντων τῶν ἐκεῖ βελτίων γενόμενος διέγνων ἕως τινὸς τῆς ἐπιστήμης ἀπολαύειν. καὶ πλεύσας ἐπὶ τὴν περισπούδαστον Ἀλεξάνδρειαν μετὰ συχνοῦ ἀργυρίου τοῖς ἐντελεστάτοις τῶν φιλολόγων παρώδευον καὶ φιλοπονίας ἕνεκα καὶ συνέσεως ὑπὸ πάντων ἐπαινούμενος. ἐφοίτων δὲ συνεχῶς καὶ εἰς τὰς τῶν διαλεκτικῶν ἰατρῶν διατριβάς· ἤρων γὰρ περισσῶς ταύτης τῆς ἐπιστήμης. ἐπεὶ δὲ καιρὸς ἦν εἰς οἶκον ἀπιέναι, κατὰ τρόπον ἤδη μοι καὶ τῆς ἰατρικῆς προϊούσης, περιῄειν τὰς βιβλιοθήκας ἐκζητῶν· εὑρὼν δὲ βίβλον τινὰ Νεχεψὼ ιδ' θεραπείας ὅλου τοῦ σώματος καὶ παντὸς πάθους κατὰ ζῴδιον περιέχουσαν διὰ λίθων τε καὶ βοτανῶν τὰ τῆς ἐπαγγελίας παράδοξα ἐξεπληττόμην. ἦν δὲ ὡς ἔοικε βασιλικῆς μωρίας κενὸς τῦφος· σκευάσας γὰρ τὸν ὑπ' αὐτοῦ θαυμαζόμενον [f. 75v] τροχίσκον ἡλιακὸν καὶ τὰς λοιπὰς δυνάμεις ἐν πάσαις τῶν παθῶν θεραπείαις ἠστόχησα. θανάτου δὲ τραχυτέραν ὑπολαβὼν εἶναι τὴν πλάνην ὑπὸ τῆς λύπης ἐδαπανώμην· καὶ γὰρ προπετέστερον τῇ γραφῇ πεπιστευκὼς ἔγραψα περὶ τῆς ἐνεργείας αὐτῶν καὶ τοῖς γονεῦσιν ὡς ἤδη πειράσας καὶ ὑποστρέφειν ἐπηγγελλόμην. ἐν μὲν οὖν τῇ Ἀλεξανδρείᾳ μένειν οὐχ οἷόν τε ἦν διὰ τὸν τῶν ὁμοτέχνων γέλωτα· καὶ γὰρ ἰδίως τὰ καλὰ φθονεῖται. εἰς οἶκον δὲ ἀπιέναι πάλιν προθυμίαν οὐκ εἶχον μικρότερος τῶν ἐπαγγελιῶν εὑρημένος, περιῄειν δὲ τὴν Αἴγυπτον οἴστρῳ τῆς ψυχῆς ἐλαστρούμενος καὶ ζητῶν τι <τῆς> προπετοῦς ἐπαγγελίας ἐργάσασθαι ἢ τούτου μὴ τυχὼν θανάτῳ λοιπὸν ἀφιέναι τὸν βίον. ἀεὶ δέ μου τῆς ψυχῆς προμαντευομένης θεοῖς ὁμιλῆσαι, συνεχῶς εἰς οὐρανὸν τὰς χεῖρας ἐκτείνων τοὺς θεοὺς ἐλιτάνευον δι' ὀνείρου φαντασίας ἢ διὰ πνεύματος θείου χαρίσασθαί μοί τι τοιοῦτο, δι' οὗ

2 μόνος Graux: μόνον M. 4 γε scripsi: τέ M: utrum τέ delendum esset annon dubitabat Graux. 5 ἐπέθηκα Graux: ἐπόθησα M. γὰρ τὴν inseruit Graux. 7 ἐπὶ scripsi: περὶ M: παρὰ Iriarte: εἰς Graux: πρὸς Prinz, *Jahrbücher für class. Philologie*, CXVII, 1878, p. 246. 8-9 τοὺς ἐντελεστάτους ... παρώδευον Graux: τοῖς ἐντελεστάτοις ... προσωμίλουν vel τοὺς ἐντελεστάτους ... περιώδευον Prinz, *loc. cit.* 11 ἰατρῶν Graux: ἰατρικῶν M. 13 εὑρὼν Graux: εὗρον M. 14 Νεκεψὼ hic et infra Graux. an κδ'? 15 cf. *Cyranid.*, ed. de Mély-Ruelle, *Les Lapidaires*, II, p. 3, 12: ἐν ταύτῃ δὲ τῇ καλουμένῃ κυρανίδι ἐγράφη περὶ λίθων κδ', πτηνῶν κδ', βοτανῶν κδ', καὶ ἰχθύων κδ'. 19 τραχυτέραν Tournier ap. Graux: βραχυτέραν M. 21 αὐτῶν: ἀκῶν Prinz, *l. c.*: φυτῶν A. Ludwich, *ibid.* 22 ἐπηγγελόμην M, corr. Graux. 23-24 ἡδέως ... καταφρονεῖται Tournier ap. Graux. 24 μικρότερος legitur in M, non μικρότευς, quod Graux legerat. 25 τὴν sic ipse codex M, pro qua voce τὸν Graux errore legerat. 26 τῆς addidit Graux. 28 μοι Tournier ap. Graux; cf. vero p. 136, 20. , συνεχῶς sic distinxit Graux: συνεχῶς, M.

γαυριάσας ἱλαρὸς εἰς τὴν Ἀλεξάνδρειαν καὶ τὴν πατρίδα κατελθεῖν δυνηθῶ. γενόμενος οὖν ἐν Διὸς πόλει, ἀρχαιοτάτην <λέγω> τῆς Αἰγύπτου πόλιν καὶ πολλὰ ἱερὰ ἔχουσαν, διέτριβον αὐτόθι· ἦσαν γὰρ καὶ ἀρχιερεῖς φιλόλογοι καὶ ποικίλοις κεκοσμημένοι μαθήμασι. προβαίνοντος δὲ τοῦ χρόνου καὶ τῆς πρὸς αὐτούς μοι φιλίας μᾶλλον αὐξανούσης, ἐπυνθανόμην εἴ τι τῆς μαγικῆς ἐνεργείας σώζεται. [f. 76] καὶ τῶν μὲν πλειόνων ἐπαγγελίας ὁμοίας τῇ προπετείᾳ μου φερόντων κατέγνων· ἑνὸς δέ τινος διὰ τὸ σοβαρὸν τῶν ἠθῶν καὶ τὸ τῆς ἡλικίας μέτρον πιστευθῆναι δυναμένου, οὐκ ἀνεχαιτίσθην τῆς φιλίας. ἐπηγγείλατο δὲ οὗτος αὐτοπτικὴν ἔχειν λεκάνης ἐνέργειαν. παρεκάλεσα οὖν αὐτὸν ἐν τοῖς ἐρημοτάτοις τόποις τῆς πόλεως σὺν ἐμοὶ περιπατῆσαι, μηδὲν ὧν ἔχρηζον ἐμφήνας. ἀπελθόντων οὖν ἡμῶν εἴς τι ἄλσος ἡσυχίᾳ βαθυτάτῃ περιεχόμενον, αἰφνίδιος περιπεσὼν ἐπὶ στόμα καὶ κλαίων τῶν ποδῶν εἰχόμην τοῦ ἀρχιερέως. ἐκπλαγέντος δὲ αὐτοῦ διὰ τὸ ἀπροσδόκητον τῆς θέας καὶ πυνθανομένου τίνος ἕνεκε τοῦτο ποιήσαιμι, ἔφασκον ἐν αὐτῷ τὴν ἐξουσίαν εἶναι τῆς ἐμῆς ψυχῆς· ἔχειν γάρ με ἀνάγκην θεῷ ὁμιλῆσαι· ἧς ἐπιθυμίας ἂν ἀμόρτω, μέλλω ἀποτάσσεσθαι τῷ βίῳ. ἀναστήσας δέ με ἀπὸ τῆς γῆς καὶ παρηγορήσας προσηνεστάτοις λόγοις, ἀσμένως ταῦτα ποιεῖν ἐπηγγέλλετο καὶ ἐκέλευσεν ἁγνεύειν ἡμέραις τρισί. διαχυθείσης δέ μου τῆς ψυχῆς ἐπὶ ταῖς ἐπαγγελίαις τοῦ ἀρχιερέως, ἠσπασάμην αὐτοῦ τὴν δεξιὰν καὶ ηὐχαρίστουν, κρουνηδόν μοι τῶν δακρύων φερομένων· φυσικῶς γὰρ ἀπροσδόκητος χαρὰ πλείονα λύπης ἐκκαλεῖται δάκρυα. ἐπανελθόντες δὲ ἐκ τοῦ ἄλσους ἐπὶ τὴν ἁγνείαν ἐγιγνόμεθα, ἐμοὶ τῶν ἡμερῶν διὰ τὴν προσδοκίαν ἐνιαυτῶν [f. 76v] ἀπαριθμουμένων. ἐπιστάσης δὲ τῆς τρίτης ἡμέρας, ὑπὸ τὸν ὄρθρον πορευθεὶς ἠσπασάμην τὸν ἀρχιερέα. εὐτρέπιστο δὲ αὐτῷ οἶκος καθαρὸς καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν ἐπίσκεψιν· ἐγὼ δὲ κατὰ προμήθειαν τῆς ψυχῆς εἶχον, ἀγνοοῦντος τοῦ ἀρχιερέως, χάρτην καὶ μέλαν ἐπὶ <τῷ> σημειώσασθαι τῶν λεγομένων <ἃ> ἐὰν δεήσῃ. ἀνακρίνοντος δέ με τοῦ ἀρχιερέως πότερον ψυχῇ νεκροῦ τινος ἢ θεῷ ὁμιλῆσαι βουλοίμην, ἔφην Ἀσκληπιῷ· εἶναι δὲ τὸ τέλειον τῆς χάριτος, εἰ μόνῳ μοι πρὸς μόνον ὁμιλεῖν ἐπιτρέψειεν. ὅ μοι οὐχ ἡδέως μὲν (τοῦτο γὰρ

2 <ἂν> δυνηθῶ? Graux. λέγω addidit Graux. 8 σοβαρὸν sic M, non σοβευόν, quod Graux legerat. 9 ἀνεχαιτίσθην Graux : ἐχετίσθην M : ἐψεύσθην Prinz, *l. c.* 12 ἐμφήνας Graux : ἐνφήνας M. 13 αἰφνιδίως? Graux. 15 ἕνεκα? Graux ; cf vero Crönert, ***Memoria graeca Herculanensis***, p. 305; Nachmanson, ***Eranos***, IX, 1909, p. 74. 19 ἐπηγγέλετο M; non ἀπηγγέλετο (Graux). 21 εὐχαρίστουν Graux. 23 ἐπὶ : περὶ Graux; cf. vero γίνεσθαι πρός τι, Pol. 1, 22, 2; 29, 3; 36, 5 etc. 23-24 ἐν τῇ ἁγνείᾳ ἐγιγνόμεθα vel ἐπὶ τὴν ἁγνείαν ἐτρεπόμεθα Prinz, *loc. cit.* 27 προμηθίαν M. 29 ἐπὶ <τῷ> σημειώσασθαι Graux : ἐπισημειώσασθαι M. <ἃ> ἐὰν scripsi : ἃ ἂν Graux. 30 με Graux : μου M. πότ(ε)ρ(ον) ψυχῇ prima manu ex ποτήριον ψυχήν. 31 εἰ prima manu supra versum. 32 ἐπιτρέψειεν. ὅ μοι οὐχ ἡδέως Graux : ἐπιτρέψειας. ὁμοσουχιδέως M.

ἐνέφαινον οἱ τῆς ὄψεως χαρακτῆρες), πλὴν ἐπηγγείλατο. καὶ ἐγκλείσας με εἰς τὸν οἶκον καὶ καθῖσαι κελεύσας ἄντικρυς τοῦ θρόνου εἰς ὃν ἔμελλεν ὁ θεὸς καθέζεσθαι, προαγαγὼν διὰ τῶν ἀπορρήτων ὀνομάτων τὸν θεὸν καὶ ἐξελθὼν ἔκλεισε τὴν θύραν. καθεζομένου δέ μου καὶ ἐκλυομένου τοῦ σώματος καὶ τῆς ψυχῆς διὰ τὸ παράδοξον τῆς θέας (οὔτε γὰρ τοὺς τῆς ὄψεως χαρακτῆρας οὔτε τὴν τοῦ περικειμένου κόσμου καλλονὴν ἀνθρώπου λόγος διασαφῆσαι δύναιτ' <ἄν>), ἀνατείνας οὖν τὴν δεξιὰν ἤρξατο λέγειν· † ὁ μακάριος παρὰ θεῷ τῷ ἔχοντι θέσσαλε †. προϊόντος δὲ τοῦ χρόνου καὶ γνωσθέντων τῶν σῶν ἐπιτευγμάτων, ὡς θεὸν ἄνθρωποί σε θρησκεύουσιν. ἐπερώτα οὖν περὶ ὧν θέλεις, ἀσμένως ἐμοῦ πάντα παρέξοντος. ἐγὼ δὲ μόλις μὲν (κατεπεπλήγμην <γὰρ> καὶ ἐπεπληρώμην τὸν νοῦν εἰς τὴν τοῦ θεοῦ βλέπων μορφήν), ὅμως <δ'> οὖν [f. 77] ἐπυνθανόμην δι' ἣν αἰτίαν ἐπὶ ταῖς τοῦ Νεχεψὼ δυνάμεσιν ἠστόχησα. πρὸς ὃ ὁ θεὸς εἶπεν· ὁ βασιλεὺς Νεχεψὼ ἀνὴρ φρενηρέστατος καὶ πάσαις κεκοσμημένος ἀρεταῖς παρὰ μὲν θείας φωνῆς οὐδὲν ὧν σὺ μαθεῖν ἐπιζητεῖς εὐτύχησε· φύσει δὲ χρησάμενος ἀγαθῇ συμπαθείας λίθων καὶ βοτανῶν ἐπενόησε, τοὺς δὲ καιροὺς καὶ τοὺς τόπους ἐν οἷς δεῖ τὰς βοτάνας λαμβάνειν οὐκ ἔγνω. ὥρια γὰρ πάντα τῇ τῶν ἄστρων ἀπορροίᾳ αὔξεται καὶ μειοῦται· τό τε θεῖον ἐκεῖνο πνεῦμα λεπτομερέστατον ὑπάρχον διὰ πάσης οὐσίας

6 περικειμένου sic M, non παρακειμένου (Graux). 7 δύναιτ' <ἂν> Graux : δύναιτο M. 8 λέγειν· sic distinxi. Quae sequuntur gravissimo mendo laborant, cui codd. BGH nihil succurrunt. 8-9 ὁ μακάριος ... προϊόντος δὲ : <ἑρμοῦ τοῦ τρισμεγίστου περὶ ἱερῶν [ἑρμοῦ ... ἱερῶν om. G] βοτανῶν καὶ [καὶ om. G] χυλώσεως.> Μακαρίας παρὰ θεῶν τιμῆς ἑρμῆς τετυχηκὼς προβαίνοντος BGH, qui cum his verbis incipiunt. 9 γνωσθέντων sic M, ut BGH, non γνωθέντων (Graux). σῶν om. BGH. 10 ἐπιτηδευμάτων G. ὡς θεὸν : πλέον BGH. θρησκεύουσί σε G : θρησκευοῦσι σε BH : σε θρησκεύσουσιν? Graux. οὖν : τοίνυν G : δὲ BH. 11 ἐθέλεις G. ἀσμένως ἐμοῦ πάντα παρέξοντος : ἀσμένως γὰρ πάντα παρέξω σοι. <ταῦτα γὰρ πρὸς αὐτὸν ἔφη ὁ θεός.> BH : καὶ ἀσμένως <ταῦτα πρὸς αὐτοὺς ἔφη ὁ θεός·> G. μὲν <ἤκουσα> BGH. 12 γὰρ ex BGH restitui. καὶ ἐπεπληρώμην om. G. ἐπεπληρώμην Graux : ἐπεπληρόμην BH : πεπληρώμην M. 13 βλέπειν M. <δ'> οὖν scripsi : οὖν M : γοῦν BGH. ἐπυνθανόμην : ἐπειθόμην BGH. αἰτίαν om. BH. ἐπὶ : ἐπανιέντες BGH. 14 τοῦ om. BGH. δυνάμεις ἠστόχασα G. ὃ ... εἶπεν : ἅς εἶπεν ὁ θεὸς BGH. 14-15 ὁ βασιλεὺς N. : βασιλεὺς γὰρ ἦν ὁ νεχεψὼ G : βασιλεὺς δ' ἦ. ἠνεχεψὼ BH : βασιλεὺς ἦν ὁ νεχεψὼ ADE, qui titulo (περὶ χυλώσεως βοτανῶν AE, περὶ ἱερῶν βοτανῶν χυλώσεωςως [*sic*] D) praemisso cum his verbis incipiunt. 15 φρενηρέστατος : σωφρονέστατος ABDEGH. πάσῃ ... ἀρετῇ ABDEGH. 16 παρὰ μὲν ... εὐτύχησε om. ADE. παρὰ : <καὶ> περὶ BGH. οὐδὲν ... εὐτύχησε : ἅπαντα μαθεῖν ἠστόχησε BGH. φύσιν BH. 18 δὲ om. ABDEGH. τόπους <διδάξας> G. δεῖ om. BGH : δεῖ supra vers. D. τὰ A. βοτάνας <ἐπέγνω> BGH : βοτάνας <ἔγνω> D. ἀναλαμβάνειν ABDEGH. οὐκ ἔγνω om. ABDEGH. 19 ὥρια : ὁρᾷς ABDEH : καὶ G. γὰρ <ὡς> ABDEH. ἅπαντα ADEG. ἀστέρων ABDEGH. ἀπορεία G. αὔξεται sic M, non αὔξηται (Graux). τε om. B : δὲ ADEH : γὰρ G. 20 θεῖον ἐκεῖνο : οἰκεῖον ἐκείνων ABDEH : οἰκεῖον ἐκείνου G. λεπτομερέστερον BGH. <καὶ> διὰ H.

διήκει καὶ μάλιστα κατ' ἐκείνους τοὺς τόπους, καθ' οὓς αἱ τῶν ἄστρων ἀπόρροιαι γίνονται [τῆς] ἐπὶ τῆς κοσμικῆς καταβολῆς[1]. ἐξ ἑνὸς δὲ τοῦτο πρὸς πίστιν τῶν λοιπῶν παραστήσω· βοτάνη[2] γάρ ἔστιν ἡ λεγομένη κώνειον· αὕτη δὲ ἐκ τῆς τοῦ Ἄρεος ἀπορροίας δοκεῖ γεγενῆσθαι· ἔτυχε δὲ ἐπὶ τῆς κοσμικῆς καταβολῆς ἐν Σκορπίῳ βάλλων τὰς ἀκτῖνας· σκορπιανὸν γὰρ καὶ ἐκεῖνο τὸ τῆς Ἰταλίας κλίμα. αὕτη οὖν ἡ βοτάνη πλέον τῆς θείας ἀπορροίας ἑλκύσασα, εἴτε ἀπὸ τετραπόδου ἢ ἀνθρώπου βρωθῇ, παραχρῆμα θανατοῖ· τινὲς δὲ καὶ κατὰ ἄγνοιαν τῆς βοτάνης ἐν ταῖς ἐρημίαις κατακλιθέντες παρ' αὐτὴν καὶ κοιμηθέντες ἐν τῷ ῥινουλκεῖν ἐν ταῖς ἀναπνοαῖς αὐτῆς τὴν ἐνέργειαν ἐτελεύτησαν. ὁμοίως καὶ ἡ Κρήτη ** [f. 77ᵛ] τὴν ἀκτινοβολίαν. τὴν αὐτὴν οὖν βοτάνην εἰς Κρήτην τὸ κώνειον ἐσθίουσιν ἀνθρώποις οὖσαν τῶν πάντων λαχάνων ἡδίονα. τοσοῦτον αἱ τῶν θεῶν ἀπόρροιαι παρὰ τοὺς τόπους

1 διήκει : διαρκεῖ M : διαρρεῖ? Graux. καθ' οὓς : καθὼς G. 1-3 αἱ τῶν ἄστρων ... παραστήσω : τὸ τῶν ἀστέρων ἐπὶ τῆς κοσμικῆς καταβολῆς ἔγγειον [ἔγγυον B : ἔγγιον H] περιέτυχε μέρος [μέρος om. G]. τεκμήριον δὲ τοῦτο πρὸς πίστιν τῶν λοιπῶν παραστήσω σοι ABDGH : τῶν ἀστέρων ἐπὶ E (qui cum his verbis desinit). 2 τῆς uncinis seclusit Graux. τοῦτο ex ABDGH (v. supra) scripsi : τοῦ M : του Graux, qui etiam vel τι post τού addendum vel πρὸς delendum censebat. 3 γὰρ om. ABDGH. ἡ λ. : τὸ λεγόμενον ADG : τὸ λειόμενον BH. 4 κόνιον M : κόριον Baehr ap. Roether. δὲ om. ABDGH. ἄῤῥεως G. 5 σκόρπι G. τὰς ἀκτῖνας : ἀκτῖνα <ὁ ἄρης [ἄρρης H]> ABDH : ἀκτίνει <ὁ ἄῤῥης> G. 6 σκορπιανὸν ... ἐκεῖνο : σκορπίῳ [-είῳ BH] γὰρ ὑποκεῖσθαι καὶ [καὶ om. AD] ABDGH. γὰρ : δὲ Graux. καὶ ἐκεῖνο uncinis seclusit in adnot. Graux. Ἰταλίας <ἔτυχε> ABDH : Ἰ. <περιέτυχε> G. οὖν : γοῦν G. <κατ' ἐκεῖνο> ἡ. β. Graux in adnot. 7 πλέον : περισσότερόν τι ABDGH. θείας : τοῦ ἀστέρος AD. ἑλκύσασα Tournier ap. Graux : ἐκλύσασα M : ἔχει. ἑλκυσθεῖσα [-κισ- H] γὰρ ABDGH. 7-8 ἐάν τε ὑπὸ τετραπόδου ἐάν τε ὑπ' ἀνθρώπου BGH : ἐάν τε ὑπ' ἀνθρώπου ἐάν τε ὑπὸ τετραπόδου AD. 7 ἀπὸ : ὑπὸ Graux. 8 θανεῖται G. καὶ om. ADG. ἄγνοιαν : τὴν πνοὴν ABDGH. 9 παρ' αὐτὴν κλιθέντες ABDH : παρ' αὐτῇ κληθέντες G. 10 ῥινουκεῖν A : συνοκλεῖν M : συνέλκειν Tournier ap. Graux. κατὰ τὰς ἀναπνοὰς G. αὐτῆς τὴν Graux : αὐτῶν τὴν M : διὰ τὴν ἀπ' αὐτῆς AD : τὴν ἀπ' αὐτῆς BH : τὴν ἐξ αὐτῆς G. 11 ὁμοίως : ἀνόμοιος Graux. Sed gravior corruptela subesse mihi videtur; quaedam enim in M excidisse ex codicum ABDGH scriptura suspicor. Itaque post Κρήτη lacunam significavi. 11-12 ὁμοίως ... εἰς Κρήτην : καὶ ἡ κρήτη δὲ ὑπὸ τὸ [τὸ om. BG] τοῦ τοξότου κεῖται κλίμα [κλίμα κειμένη G], παρέτυχε [παρέτυχει G] δὲ [δὲ om. G] ὁ Ζεὺς ἐκεῖθι [ἐκεῖ ὁ Ζεὺς BGH] ἐπὶ τῆς κοσμικῆς καταβολῆς εἰς κρήτην [καὶ add. H] τὴν ἀκτῖνα βάλλων. [εἰς add. A] ταύτην οὖν τὴν βοτάνην [τὴν β. om. AD] ABDGH. 12 <οἱ> ἄνθρωποι ABDGH. οὖσαν : ὑπάρχουσαν BDGH : om. A. 12-13 τῶν πάντων λαχάνων ἰδίαν [ἡδίονα corr. Graux] M : παντὸς ἡδίω [ἡδύω BH] λαχάνου ABDH : ἰδίω παντὸς λαχάνου G. 13 τοσοῦτον : οὕτως ABDH : οὕτω <καὶ> G. θεῶν : ἀστέρων AD. ἀποῤῥοαὶ M. παρὰ : an κατὰ?

---

[1] Cf. Bouché-Leclercq, *L'astrologie grecque*, p. 185.

[2] V. supra p. 134; cf. Bouché-Leclercq, *op. cit.*, p. 535.

καὶ καιροὺς δύνανται. πρόδηλον ὅτι πάντων τῶν ἀστέρων βασιλεύς ἐστιν ὁ Ἥλιος· οὗτος δὲ ἐν Κριῷ γενόμενος ὑψοῦται καί τινα μεγίστην δύναμιν ἐν τούτῳ λαμβάνει τῷ ζῳδίῳ. αἱ οὖν βοτάναι τότε δυναμικώταται οὐ μόνον διὰ τὸν Ἥλιον, ἀλλὰ καὶ διότι τὸ ζῴδιον πᾶσι τοῖς τὰ πάθη ἐμποιοῦσι θεοῖς ἐπίκοινον· Ἡλίου μὲν γάρ ἐστι καθὼς προεῖπον ὕψωμα, Κρόνου δὲ ταπείνωμα, Ἄρεος δὲ οἶκος, Διὸς <δὲ> τρίγωνον. τοσαύτας ἔχον τὸ προειρημένον ζῴδιον δυνάμεις, ἐν τούτῳ οὖν ὄντος τοῦ Ἡλίου τὰς ῥηθησομένας βοτάνας λαμβάνων χύλιζε μὴ ἑψῶν· ὑπὸ γὰρ τοῦ πυρὸς ἡ ποιότης ἀλλοιοῦται. καὶ ταχέως τὸν χυλὸν ἔκθλιβε καὶ εἰς λεκάνην ἢ ξέστην τὸν χυλὸν βαλὼν καὶ μετὰ μέλιτος μίγε. τοῦτο δὲ ποιήσας βάλλε εἰς ἀγγεῖα ὑέλινα καὶ τίθει ἐπὶ ἡμέρας <?>. εἰ δὲ ὠμοὺς θέλεις χυλούς, ἔκζεσον. μετὰ δὲ ταῦτα σκεύαζε καθ' ἑκάστην δύναμιν.

[F. 78] Κριός, ζῴδιον πρῶτον· περὶ ἐλελισφάκου. Ἀπὸ Φαμενὼθ δευτέρας καὶ εἰκάδος ἤγουν Δύστρου ιη', κατὰ δὲ Ῥωμαίους ἀπὸ <τῆς πρὸ> ιε' καλανδῶν Ἀπριλλίου πρώτη βοτάνη ἐλελίσφακος. αὕτη ἔχει δυνάμεις πλείστας πρός τε αἵματος ἀναγωγὰς καὶ πρὸς

1 <τοὺς> καιροὺς <βλάπτειν καὶ ὠφελεῖν> δύναντα [-αται G] ABDGH. πρόδηλον <οὖν> ABDH : π. <τοίνυν> G : π. <δ'> Graux. 2 ἐστιν : ὑπάρχων G. οὗτος δὲ om. G. <τῶ> κριῶ AD : <τῷ ζωδίῳ> κριῷ BGH. τινα : τὴν ABDGH. 3 δύναμιν : δυστυχίαν G. λαμβάνειν G. τῷ ζῳδίῳ om. AG. ζῳδίῳ <τῷ κριῷ> BH. 4 διὰ τὸν : δι' αὐτης G. ἀλλὰ καὶ διότι : ἀλλ' ὅτι καὶ ABGH. 4-5 τὰ πάθη om. ABGH. 5 ἐμποιοῦσι θεοῖς ἐπίκοινον : θεοῖς [ἄστρασιν A] ἐν πλείοσιν ἐπικοινωνεῖ [ἐπικοινω^{ν'} G] ABGH. <κριός> ἐστιν ὡς προεῖπον A : <κριός> ἐστὶ ὡς προείπομεν G : ὡς προεῖπε <κριός> ἐστιν BH. 6 Κρόνου : σκορπίου BH. Ἄρεος coll. p. 138, 4 symbolum in M depictum legi : ἄρεως ABGH. δὲ ex ABGH inserui. 7 ἔχων M : <οὖν> ἔχον G : <οὖν> ἔχει A : <γοῦν> ἔχει BH. τῶν προειρημένων ζώδιον (?) δυνάμεις M : δυνάμεις [δυ(νάμ)ει G] τὸ προειρημένον ζώδιον [συνόδιον BH] ABGH. ἐν τούτῳ ... ὄντος : κἂν οὕτως G. οὖν <τῷ ζωδίῳ> BH. 8 λαμβάνων βοτάνας H. λαμβάνων om. B. ἑψῶν <δὲ> ABGH. 9 ἡ ποιότης om. ABGH. ἀλλοιοῦνται ABH : ἀλοιοῦνται G. καὶ ταχέως : κόπτων δὲ A : κόπτε δὲ καὶ BGH. 10 καὶ prius om. G. λεκάνην ... μέλιτος μίγε : ἕκαστον χυλοῦ ξέστιν [ἕκεστον χυλόν. ξε G] βάλλε [βάλε G] μέλιτος κύαθον. [ἐναγγ' ἦν add. BH] παρέχει γὰρ εὐχροιάν [-ειάν H] τε τοῖς χυλοῖς καὶ διαμονὴν αὐτοῖς [αὐτῶν A] [παρέχει ... αὐτοῖς om. G] ἐφ' ὅσους [ὅσον G] ἐνιαυτοὺς βούλει φυλάττειν [διαφυλάττειν G] ABGH. 11 βάλε BGH. ἀγγεῖον ὑέλινον ABH : ἄγκος ὑέλινον G. τίθει : θὲς ABGH. In M dierum numerus deest : ϛ' A : ξ' BGH. 11-12 εἰ δὲ ... ἔκζεσον : καὶ οὕτως εἰς τὴν ὀφειλομένην χρείαν ἔρχου [εἰσέρχεται <πρὸ αὐτῆς> BH : εἰσέλχεται <πρὸ αὐτοῦ> G] ABGH. 12 ταῦτα δε G. 12-13 σκεύαζε ... δύναμιν : σκευάζεται ἑκάστη [ἑκάστου A] δύναμις οὕτως ABGH. 14-16 Κριὸς ... Ἀπριλλίου om. ABGH. 14 <(Α)ἱ βοτάναι τῶν ιβ' ζωδίων ἐκδοθεῖσαι παρὰ ἑρμοῦ. σύλλεγε> ἀπὸ φαμενὼθ F, qui cum his verbis incipit. 15 δευτέρας ... Δύστρου ιη' om. F. 16 τῆς πρὸ ex F addidi. πρώτη βοτάνη : κριοῦ βοτάνη A : Κριοῦ βοτάνη <ἐστὶ> BH : κριοῦ <ἐστι> βοτάνη F : <ἀρχὴ πρώτης βοτάνης τοῦ κριοῦ.> Κριοῦ βοτάνης <ἐστὶν> G. ἐλελίσφακον AFG : λελίφασκον BH. 17 δυνάμεις ἔχει ABFH : δυστυχίας ἔχει G. <ποιεῖ γὰρ> πρός ABFGH. τε om. A. ἀναγωγὴν ABFGH. καὶ om. F. πρὸς om. ABFGH.

φθισικοὺς καὶ συντηκτικοὺς καὶ σπληνικοὺς καὶ πρὸς τὰς ὑστερικὰς διαθέσεις. πρὸς μὲν οὖν αἵματος ἀναγωγήν, εἰς τρεῖς κυάθους χυλοῦ βάλλεται μέλιτος ἀττικοῦ οὐγγία α′ καὶ νήστῃ δίδοται πιεῖν καὶ εὐθέως ἴᾶται ἡ ἀναφορὰ τοῦ αἵματος. τοῖς δὲ φθισικοῖς σκευάζεται καταπότια οὕτως· κρόκου κωρυκίου <ε′, ζιγγιβέρεως <δ′, στάχυος <θ′, τοῦ σπέρματος τοῦ ἐλελισφάκου πεφρυγμένου καὶ σεσησμένου <ιδ′, πεπέρεως <β′· ἀναλάμβανε τῷ χυλῷ καὶ ποίει καταπότια ἡμιδραγμιαῖα καὶ δίδου νήστῃ πρωῒ καὶ εἰς κοίτην· καταπιὼν δὲ ἐπιρροφείτω ὕδατος καθαροῦ κυάθους β′. τοῖς δὲ σπληνικοῖς γίνεται καὶ αὐτοῖς καταπότια οὕτως· καππάρεως τῆς ῥίζης κεκομμένης καὶ σεσησμένης <ιβ′, κισσοῦ μέλανος τοῦ καρποῦ <θ′, μύρτων λευκῶν <δ′, ζιγγιβέρεως <ς′· λεῖα ποιήσας ἀναλάμβανε τῷ χυλῷ καὶ ποίει καταπότια ἀνὰ <α′ καὶ δίδου πρωῒ α′ καὶ εἰς κοίτην α′. πρὸς δὲ τὰς ὑστερικὰς <διαθέσεις>, οἷον σκληρίας καὶ ῥευματισμοὺς καὶ τὰς ἐπιμόνους ἀλγηδόνας, ἄκοπον σκευάζεται κηροῦ τυρρηνικοῦ <ιδ′, μυελοῦ ἐλαφείου <η′, ῥόδων ξηρῶν κεκομμένων <δ′, τοῦ χυλοῦ τῆς βοτάνης [f. 78v] κυάθους δ′· τὰ τηκτὰ βάλλε εἰς τὰ ξηρὰ

1 καὶ συντηκτικοὺς om. ABFGH. πρὸς τὰς om. ABFGH. 2-8 cf. Orpheum, *Sitzungsberichte preuss. Akad.*, XXXIX, 1911, p. 838. 2 μὲν om. AF. <τοῦ> χυλοῦ ABFGH. 3 βάλλε ABH : βάλε G. Siglum Γο′, quod M et BH praebent, οὐγγία interpretatus sum : οὐγγ(ία) AF : ὁ γγ(ία) G. νήστῃ δίδοται ποιεῖν M : νήστῃ δίδοται πίνειν F : νήστει δίδου πιεῖν A : νῆστις δίδου πίνειν BH : δίδου πίνειν νήστι G. 4 ἴᾶται : ἵσταται AFG. ἡ om. G. φορὰ ABFH : om. G. τοῦ om. F. φθισιακοῖς M. καταπότιον BF : καταπότειον H : καταπο$^{\tau'}$ A : καπο$^{\tau\tau}$ G. 5 οὕτως om. ABFGH. ἀκρόκου M. ε′ : α′ ABFGH. ζιγγιβέρεως <δ′ scripsi : ζζ′ <δ′ M : om. ABFGH. ναρδοστάχυος AFG : νάρδουστάχυος BH. θ′ : β′ FG : β′ ἢ β′ ς″ BH. τοῦ om. ABGH. 6 ἐλελησφάκου A : ἐλελιφάσκου BH : λελισφάκου F. σεσησμένου scripsi : σεσεισμένου M : σεσημένου AF : σεσημμένου BH : σεσημειωμένου G. <ιδ′ : <γ′ A : καὶ BH : κα G : om. F. πεπέρεως <μακροῦ> ABFGH. 7 τὸν χυλὸν F. ἡμίδραγμα BFGH : ἡμίδραχμα A. 8 <γ′> νηστ(ει) πρωῒ G : <τρία> νῆστις πρωῒ BH : <τρία> τὸ πρωῒ A : τῷ πρωῒ γ′ F. καὶ <γ′ (vel τρία)> ABFGH. καταπιὼν δὲ : κατὰ πρωῒ δέ AF : κατὰ δὲ πρωῒ BGH. ἐπιρωφάτω F. 9 γίνεται ... οὕτως : γίνεται καταπότιον οὕτω F : οὕτω(ς) γίνεται καταπότιον ABGH. 10 τῆς om. F (?), G. σεσησμένης scripsi : σεσεισμένης M : σεσημένης A : σεσημμένης BFH : σεσειμένης G. ιβ′ : β′ ABFGH. 11 τὸν καρπὸν F. μύρτων λευκῶν <δ′ om. A : μύρτου λευκοῦ G. ζιγγιβέρεως <ς′ scripsi : ζζ <ς M : σμύρνης <θ′ BFGH : om. A. <ταῦτα> λεῖα BH. ποιῆσαι G. 12 ἀνὰ <α′ om. ABFGH. <τῷ> πρωῒ F. 13 post εἰς κοίτην α′ add. ἐχέτω δὲ [δὲ καὶ G] τὸ καταπότιον <α′ in ABGH : ἢ καὶ β′. ἐχέτω δὲ καταπότια <α′ in F. πρὸς : ῥὸς M : εἰς F. δὲ om. BFGH. διαθέσεις ex ABFGH addidi. σκληρίας : πρὸς ὑστέρας σκληρὰς [σκηράς G] ABGH : πρὸς ὑστερικὰς καὶ σκληρὰς F. 14 ἐπιπόνους M : ἐπιμόνως G. ἀλγηδόνας : ἀρρωστήσεις ABFH : ἀρρωστίας G. ἄκοπον ex ABFGH scripsi : ἰσακόπιον M. σκευάζεται ἄκοπον <οὕτως> ABFGH. 15 ιδ′ : δ′ ABFGH. ἐλάφου F (?), G. κεκομ(μ)ένων <καὶ σεσημ(μ)ένων [σεσειμένων G]> ABFGH. post δ′ add. στέατος χηνείου [χηνίου F] <ς′ in ABFGH. 16 τοῦ om. F (?), G. 16-p. 141, 1 τὰ τηκτὰ ... καθεψηθῇ : τὰ τηκτὰ ἐνίεται [ἐ. τ. τ. G] καὶ ἐμβάλλεται τὰ ξηρὰ [τοῖς ξηροῖς A]. τὸν χυλὸν ἕψε [ἕψαι BH : ἕψει A] ἕως ἂν τὸ τέταρτον [ἀδρὸν A] μέρος ἀπολειφθῇ ἤγουν ἀφεψηθῇ [ἕως ... ἀφεψηθῇ : ἕως ἀποτεταρτωθῇ F] ABFGH.

καὶ τὸν χυλὸν [καὶ] ἕψε ἕως ἂν τὸ τέταρτον μέρος καθεψηθῇ καὶ τότε ἀπόθου εἰς ἄγγος κασσιτέρινον· χρῶ δὲ συγχρίων τὴν ὑστέραν. ἐὰν δὲ χαλεπὴ λίαν ἡ διάθεσις ᾖ, ἕψε τὴν βοτάνην σὺν ταῖς ῥίζαις καὶ ἐγκαθισμῷ χρῶ. γίγνεται δὲ καὶ ἐκ τῆς ῥίζης ἐνεργέστατον μάλαγμα νεφριτικοῖς καὶ ἰσχιαδικοῖς οὕτως· κηροῦ <η′, ἀμμωνιακοῦ <ις′, χαλβάνης <θ′, κεδρίας <ιη′, στέατος ταυρείου <ιδ′, τῆς ῥίζης κεκομμένης καὶ σεσησμένης <λβ′· τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. ὠφελεῖ δὲ καὶ τὸ προγεγραμμένον ἄκοπον πρὸς τὰς τοιαύτας διαθέσεις.

Ταῦρος, ζῴδιον β′. Περὶ περιστερεῶνος. Ἀπὸ Φαρμουθὶ εἰκάδος τρίτης ἤγουν Ξανθικοῦ ιη′, κατὰ δὲ Ῥωμαίους ἀπὸ τῆς πρὸ ιδ′ καλανδῶν Μαΐων δευτέρα βοτάνη περιστερεὼν καὶ ταύτης αἱ ἐνέργειαί εἰσι μηδὲ πιστεύεσθαι δυνάμεναι· τὰς γὰρ ἀπηλπισμένας ὀφθαλμικὰς διαθέσεις ἐν τρισὶν ἡμέραις ἀπαλλάσσει παρὰ τῆς ποιότητος τῆς σκευασίας. πρὸς μὲν οὖν ὀφθαλμίας καὶ οἰδήματα καὶ ἐμφυσήματα καὶ πᾶσαν ἐπιφοράν, τοιούτῳ χρῶ κολλουρίῳ· κρόκου <ιδ′, ἀμύλου <ιβ′, γλαυκίου <ς′, ᾠῶν τριῶν τὰ λευκά, τραγακάνθης <β′· λεῖα ποιῶν ἀναλάμβανε τῷ χυλῷ καὶ ποιῶν κολλούρια χρῶ. πρὸς δὲ ῥεῦμα πᾶν ἀφέψει τὴν βοτάνην σὺν ταῖς ῥίζαις <καὶ χρῶ> προσκλύσματι· παραχρῆμα γὰρ ἵστησι. [f. 79] πρὸς δὲ τὰς γλαυκώσεις καὶ ὑποχύσεις καὶ

1 καὶ (post χυλόν) uncinis seclusi. καθεψηθῇ scripsi : κατεψηθῇ M. καὶ τότε : εἶτ′ F. 2 ἀπόθες ABH. ἄγκος (ἄγγος prima manu in marg.) G. χρῶ ... ὑστέραν : καὶ χρῶ [χρῶ δὲ F] ἐπὶ τῶν χρειῶν [χροιῶν F (?)] ABFGH. 3 δὲ om. A. <ἐστι> χαλεπὴ G. λίαν om. F. λίαν <εἶ> BH. ᾖ om. ABFGH. ἕψε : ἕψησον AFG : ἑτήσον BH. 4 ἐγκαθισμῷ scripsi : ἐνκαθισμῷ M : ἐγκαθίσματι AF : ἐνκαθίσματι BG. 4-5 γίγνεται ... ἰσχιαδικοῖς [σχιδιακοῖς M] οὕτως : γίνεται δὲ ἐνεργέστερον μάλαγμα πρὸς νεφριτικοὺς καὶ ἰσχιατικοὺς F : τότε γὰρ [γοῦν B] γίνεται ἐνεργέστερος [-τέρα B]. ὡσαύτως καὶ τῆς ῥίζης μάλαγμα πρὸς νεφριτικοὺς καὶ ἰσχιατικοὺς [ἰσχυακοὺς G] BG : ὡσαύτως κ. τ. ῥ. μ. πρὸς νεφρητικοὺς καὶ ἰσχιαδικοὺς A. 6 χαλβάνης : καλαμίνθης AFG : καλαμινθίου B. 7 σεσησμένης scripsi : σεσεισμένης M : σεσημ(μ)ένης ABF : σεσειμένης G. ἀναλάμβανε FG. 8-9 ὠφελεῖ ... διαθέσεις om. F. 8 ὠφελῶν G. καὶ τὸ ... πρὸς τὰς : τὰ προγεγραμμένα κόπτοντα [κόπτων τὰς B] ABG. 10-12 Ταῦρος ... Μαΐων om. ABG : σύναγε τοῦτο ἀπὸ ιδ′ τοῦ μαΐου F. 10-11 Φαρμουθὶ εἰκάδος τρίτης scripsi : φαρμωθῆ εἰκάδι τρίτη M. 12 δευτέρα : ταύρου ABFG. περιστερεὼν <ὀρθὸς> BFG : π. <ὀρθή> A. αἱ om. F. 13 πιστεύεσθαι : πείθεσθαι ABFG. δυνάμεναι : δηλονότι G. ἀπηλπισμένας Baehr ap. Roether : ἀπελπισμένας AFGM : ἀπηχνησμένας B. ὀφθαλμικὰς ex BFG scripsi : ὀφθαλμίας καὶ M : ὀφθαλμῶν A. 14 ἐν τρισὶν ἡμέραις om. ABFG. ἀπαλλάσσει : ἀπολύει ABFG. παρὰ τῆς ποιότητα M (correxi) : ἐπὶ τῇ ποιότητι ABFG. 15 σκευάσεως <αὐτὰ> G. <τὰς> ὀφθαλμίας A : <τὰς> ὀφθαλμικὰς B : <τὰς> ὀφθαλμῶν G. οἰδημῶν G. 16 πασῶν G. τοιούτῳ : τούτῳ AB : τοῦτο F : ταύτῃ G. 16-18 κολλουρίῳ ... χρῶ om. ABFG. 18 τῷ χυλῷ scripsi : τοῦ χυλοῦ M. πᾶν ῥεῦμα ABFG. 19 ἀφέψει sic A : ἀφέψῃ M : ἀφέψεις G : ἀφεψεῖν F : ἀφέψιε B. καὶ χρῶ ex ABFG addidi. προσκλύματι BGM. 20 γλαυκώσεις <καὶ συκώσεις [-ό- F]> ABFG. ἐπιχύσεις G : ἐπιλύσεις B : ἀποχύσεις A.

τὰς ἀπεγνωσμένας διαθέσεις, ὑγρὰ σκευάζεται τοιαύτη τις· ὀποπάνα- κος <β', λίθου αἱματίτου <δ', κρόκου <δ', λυκίου ἀμύλου ἀνὰ <β', γλαυκίου <ϛ', τραγακάνθης <β', μέλιτος ἀττικοῦ <δ', πεπέρεως λευκοῦ <β', ὀποβαλσάμου <β', τῆς ῥίζης τοῦ περιστερεῶνος κεκομμένης καὶ σεσησμένης <ϛ', χολῆς αἰγείας <γ', τοῦ χυλοῦ κυάθους β'· τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων <χρῶ>. αὕτη ἡ δύναμις τὰς προγεγραμμένας διαθέσεις ἐν τρισὶν ἡμέραις ἀπαλλάσσει, τὰ δὲ πτερύγια καὶ συκώσεις καὶ χαλάζια καὶ τὰ τούτοις ὅμοια ἐν μιᾷ ἡμέρᾳ. οὐκ ἔστι δὲ θείας δυνά- μεως ἔπαινον λέγειν, ἀλλ' ἑκάστης δυνάμεως· δείξει γὰρ ἡ πεῖρα τὴν ἐνέργειαν.

Δίδυμοι, ζῴδιον γ'. Ἀπὸ Παχῶνος εἰκοστῆς πέμπτης, ἥτις ἐστὶν Ἀρτεμισίου κ', κατὰ δὲ Ῥωμαίους ἀπὸ τῆς πρὸ ιγ' καλανδῶν Ἰουνίων τρίτη βοτάνη περιστερεὼν ὕπτιος. ταύτης ὁ χυλὸς ὁμοίως ἀναλαμβά- νεται· εἶτα σκευάζεται φάρμακον ἐνεργέστατον πρὸς καρκινώματα καὶ κονδυλώματα καὶ τὰς λεγομένας συκᾶς· σκευάζεται δὲ οὕτως· κρόκου <ιβ', ῥόδων ξηρῶν <η', μελιλώτου ποντικοῦ <ιδ', στυπτηρίας σχιστῆς <η'· λειάνας μίγε [ἴσα], παραχέων τῆς βοτάνης τοῦ χυλοῦ ξέστας δ', καὶ ἕψε ἐν χύτρᾳ καινῇ ἕως ἂν γένοιτο μέλιτος πάχος, καὶ χρῶ. θεραπεύει δὲ [f. 79v] καὶ τὰ ἐν τῷ σώματι πάντα.

1-3 διαθέσεις ... τραγακάνθης <β' : διαθέσεις ὑγράς. ἔχει δὲ [δὲ om. A] προσθή- κην πλείω ἢ τοιαύτη σκευασία ταύτην. λυκίου [λι- B] ἰνδικοῦ. κρόκου. λίθου αἱμα- τίτου [-τίστου B]. ἀμύλου. καὶ γίνεται [γίγν- G] κολλούριον [ἔχει δὲ ... κολλούριον om. F]. σκευάζεται δὲ [δὲ om. F (?)] αὕτη [αὐτῇ B : οὕτως F (?), G]. ὀποπάνακος <η' ABFG. 3 δ' : β' AF : α' BG. πεπέρεως : πέπονος M. 3-4 πεπέρεως ... ὀπο- βαλσάμου <β' om. F. 4 τοῦ om. AG. περιστερεῶνος om. A : περιστερεὼν B. 5 σεσησμένης scripsi : σεσεισμένης M : σεσημ(μ)ένης ABF : σεσειμένης G. χολῆς <ὑαίνης ἢ> ABFG. <γ' : <ϛ' ABF : om. G. β' om. B. β <ἢ κ> G. 6 χρῶ ex ABFG addidi. τὰς <μὲν> ABFG. 7 ἀπαλλάττει ABFG. συκώσεις : λευκώ- ματα A : λευκόματα BG : λακώματα F (?). 8 ἐν om. ABG. ἡμέρᾳ <ἀπαλλάττει> ABF : ἡμέρᾳ <ἀπαλλάττει. τὰ δὲ πτερύγια ... ὅμοια> G. δὲ : γὰρ A. 8-9 θείας ... ἑκάστης δυνάμεως : εὐχέρεια μετὰ εὐλογίας [μ. εὐ. om. A : μετὰ λόγου BG] ἔπαινον λέγειν ἑκάστης δυνάμεως ABFG. 10 ἐνέργειαν <ταύτης> A. 11-12 Δί- δυμοι ... Ἰουνίων om. ABG : σύναγε ταύτην ἰουνίῳ ιγ' F. 11 In M numerus γ' ex imagine photographica ligatoris cultro abscissus videtur. Παχῶνος εἰκοστῆς πέμπτης scripsi : παχὼθ εἰκοστῇ πέμπτῃ M. 12 κ' Boll : κδ' M. 13 τρίτη β. : διδύ- μων β. ABG : β. τῶν δυδίμων F. περιστερεὼν ὕπτιος : ἡ ὑπτία A. ταύτης : τού- του BFG. ὁμοίως ὁ χυλὸς λαμβάνεται ABFG. 14 εἶτα: καὶ ABFG. ἐνεργέστατον om. ABG. 14-15 κονδιλώματα καὶ καρκινώματα F : κονδυλώματα (καρκινώματα καὶ om.) AG : κονδηλώματα B. 15 συκᾶς scripsi : σύκας M : συκώσεις ABFG. κατασκευάζεται B. 16 μελιλότων ποντικῶν F : μελιλώτων (π. om.) A : μελιλω- τ(ον) ποντικὸν B. ιδ' : ιβ' ABFG. στυπτύρου G. 17 λειάνας . . ξέστας δ' : ταῦτα λειώσας [πειοποιήσας F] σμίγε [μίσγε A] ἐκ τοῦ χυλοῦ [τῷ χυλῷ F] τῆς βοτάνης <δ' ABFG. 18 ἕψει A : ἕψει G : ἕψειε B. χύτρᾳ : κύθρα ABG. ἕως ... πάχος : μέχρι μελιτώδους συστάσεως G. γένηται F : ἀπολάβῃ A : ἀπολαύῃ B. 19 ἐν τῷ [τῷ om. AF] <στόματι καὶ παρισθμίοις [παρισθμίου A] καὶ τὰ ἐν τῷ [τῷ om. AF]> σώματι ABFG. Haec in codicis M scripturam restituenda videntur. πάντα <κακό- χυμα αἴτια> F (?), G : <κακόχυμα> πάντα <αἴτια> B : <κακόχυμα> πάντα A.

<Ἀ>πὸ Παυνὶ εἰκοστῆς πέμπτης, ἥτις ἐστὶν Δαισίου ιθ', κατὰ δὲ Ῥωμαίους ἀπὸ τῆς πρὸ ιγ' καλανδῶν Ἰουλίων τετάρτη βοτάνη σύμφυτον. ταύτης ὁ χυλὸς καὶ ἡ ῥίζα πολλὰς ἐνεργείας ἔχουσιν. ἐκ μὲν οὖν τῆς ῥίζης ἔμπλαστρος σκευάζεται, ἥτις τραύματα καὶ διακοπὰς νεύρων κολλᾷ· κηροῦ <ξ', μυελοῦ ἐλαφείου <ιβ', μάννης Λιβάνου <κβ', μέλιτος ἀττικοῦ <κϛ', ἐλαίου ῥοδίνου <κδ'· τὰ ξηρὰ τοῖς ὑγροῖς ἀνα- λαμβάνων χρῶ. πρὸς δὲ τὰ ἐν θώρακι ῥήγματα, οἷον ἀρτηριῶν καὶ

[Cum his verbis abrumpitur codex M(atritensis). Reliquum opus- culum ex codice A, codicibus quoque BFG auxiliantibus, iam editurus sum.]

[Paris. 41, f. 590] φλεβῶν, καὶ τὰς τοῦ αἵματος ἀναγωγὰς σκευά- ζεται διὰ τοῦ χυλοῦ τροχίσκος τοῦτον τὸν τρόπον· σελίνου σπέρματος <ϛ', παρ' ἐνίοις ἀνήθου ἀντὶ ἀνήσου <δ', κρόκου <δ', ἀκόρου <γ', τῆς ῥίζης κεκομμένης καὶ σεσημένης <ιβ'· ἀναλάμβανε τῷ χυλῷ καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ <α' καὶ δίδου α' νήστῃ. ἵστησι δὲ καὶ καταμήνια γυναικὸς ὅταν παρὰ φύσιν φέρηται. πρὸς δὲ τὰ ἐν ὀφθαλ- μοῖς τῶν χιτώνων γινόμενα ῥήγματα καὶ τὰς διαβρώσεις, γίνεται διὰ χυλοῦ κολλούριον· ψιμυθίου <η', κρόκου <ϛ', νάρδου ἰνδικῆς <α', μελιλώτου <β', κόμμεως <ι', παρ' ἐνίοις γ'· τῷ χυλῷ ἀναλάμβανε καὶ ποιήσας κολλούριον χριῶ.

1-2 Ἀπὸ Παυνὶ ... Ἰουλίων om. ABG. Ἀπὸ Παυνὶ ... Ῥωμαίους om. F. 1 πὸ παυνεὶ εἰκοστῇ [πρώτη prima manu deletum] πέμπτῃ M; correxi. 2 <σύναγε ταύτην> ἀπὸ τῆς F. πρό : πρώτης M. ἰουλίου F. τετάρτη β. : καρκίνου β. ABG : β. καρκίνου <τὸ> F. 3 σύμφυτος BGM. ταύτης <γὰρ> F : ταύτης <δὲ> B. ἡ ῥίζα καὶ ὁ χυλὸς A : ἡ ῥίζα καὶ ὁ καρπὸς BG : ἡ ῥίζα καὶ ὁ καρπὸς χυλὸς F. πολλὰς : πλείστας G. ἔχει ABFG. 4 ἔμπλαστρον (?) σκευάζεται F : σ. ἔμπλαστρος AG : σ. ἔμπλαστρον B. ἥτις ex AF scripsi : εἰς γὰρ M : ὅπερ BG. 4-5 διακοπὰς νεύρων : διακοπέντα νεῦρα AB : διακόπτει νεῦρα G : διακοπέντα F. 5 κολλᾷ. <σκευάζεται δὲ οὕτω(ς)> ABG : κολλᾷ. <ἤγουν> F. ξ' : ζ' BG : η' AF. Λιβάνου : λίβυης (?) G. κβ' : κα' F : α' ABG. 6 μέλιτος ... ῥοδίνου <κδ' : ῥητί- νης ὑγρᾶς <κδ'. τῆς ῥίζης κεκομμένης καὶ σεσημ(μ)ένης [σεσειμένης καὶ κ. G] <λβ'. ἐλαίου ῥοδίνου [ῥοδελαίου G] <κδ'. μέλιτος ἀττικοῦ <ϛ'. παρ' ἐνίοις μέλι οὐκ ἔστιν οὐδὲ κρόκος [μέλι ... κρόκος : μέλι καὶ κρόκος G] ἐγκείμενος. κρόκου <β' ABFG (in quo κρόκου <β' ante παρ' ἐνίοις positum est). 7 οἷον om. ABFG. 9 τὸν τρόπον τοῦτον BF : τοιουτοτρόπως G. 9-10 σπέρματος ... ἀνήσου <δ' : σπέρμα <ϛ'. ἀνήσσου <δ'. παρ' ἐνίοις ἀντὶ ἀνήσσου ἀνίθου B. 10 ἐνίοις <δ'> G. ἀντὶ ἀνήσου om. F. ἀκόρου <γ', κρόκου <δ' BFG. 11 καὶ σεσημέ- νης om. BG. ιβ' : ιγ' F. ἀναλαμβάνεται B. 12 ἀνὰ om. F. α' (ante νήστῃ) : <α' A : om. BG. νήστι B : νήστις G : om. F. ἵστησι : στήσει F. καὶ om. B. 13 γυναικὸς καταμήνια (?) F : γυναικῶν καταμήνια G. ὅταν ... φέρηται : παρὰ φύσιν ἀμέτρως φερόμενα G. τὰ <ῥήγματα>, l. subseq. ῥήγματα omisso, BFG. 14 τῆς χιτῶνος G : τῶν χυτῶν F. γινομένων BG. 15 κολλύριον F : κουλούριον G. ψιμμιθίου ABFG. ἰνδικοῦ A. 16 μελιλω^τ' A : μελιλώτων BFG. β' : ιβ' BFG. <ταῦτα> τῷ B. 17 κολλύριον F : κουλούρια G. χρῶ <τούτοις> G.

Λέοντος βοτάνη κυκλάμινον.

Ταύτης τὰ μὲν φύλλα ἄχρηστά εἰσιν, ἡ δὲ ῥίζα θαυμασιωτάτη καὶ καθυγροτάτη, ὥστε καὶ χυλὸν ἐξ αὐτῆς λαμβάνεσθαι. ἐὰν οὖν εἰς τὸν χυλὸν βάλῃς ἴσον ἴσῳ μέλιτος καὶ ἐνίῃς εἰς τὰς ῥῖνας, τὰς ἐκ τῆς κεφαλῆς εἰς τὸν θώρακα φλεγμονὰς παύει. κατακοπτομένη δὲ καὶ μέλιτι καὶ λυκίῳ ἀναλαμβανομένη τάχιστα θεραπεύει τὰ ἐν τοῖς αἰδοίοις καὶ μυκτῆρσιν ἕλκη, ὁμοίως καὶ τὰ ἐν τῷ στόματι· στερεοῖ δὲ καὶ τοὺς κινουμένους ὀδόντας. ἂν δὲ καὶ καταμήνια γυναικὸς θέλῃς καταγαγεῖν, εἰς ἔριον βάλλε ἀπὸ τοῦ φαρμάκου καὶ δίδου ἀποθέσθαι καὶ παραχρῆμα ἐνεργεῖ· ποιεῖ δὲ καὶ πρὸς τὰς σωματικὰς διαθέσεις. ἔμπλαστρος δὲ διὰ τῆς ῥίζης σκευάζεται τοιαύτη· κηροῦ <ϛ', ῥητίνης ὑγρᾶς <μ', [f. 590v] λιθαργύρου <κδ', τῆς ῥίζης σεσημένης <ρ', ἐλαίου παλαιοῦ <μ'· τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. αὕτη ἡ δύναμις χοιράδας καὶ ἀποστήματα πελιώματά τε καὶ στεατώματα, ἀθερώματα καὶ ἰόνθους καὶ πάντα τὰ τυλώδη σκιρρώματα διαφορεῖ. καὶ ἔμπυα ἔχοντα ῥήσσει· ὅταν δὲ ῥήξῃ, χρῶ τῇ ἐπάνω δυνάμει τῇ διὰ τοῦ λυκίου καὶ μέλιτος· αὕτη γὰρ ἀνακαθαίρει καὶ κατουλοῖ.

Παρθένου βοτάνη καλαμίνθη.

Αὕτη δύναμιν ἔχει λίαν θαυμάζεσθαι δυναμένην. σκευάζεται δὲ φάρμακον τοιοῦτον· λαβὼν ψιμυθίου ὅσον θέλεις, εἶτα ῥοδίνου, καὶ τῷ χυλῷ ἀναλαμβάνων, ὡς γενέσθαι γλοιοῦ πάχος, ἐπίχριε τὰ πυρί-

1 <σύναξον εἰς τὰς ι' τοῦ αὐγούστου καὶ εἰς τὰς ιε'> Λέοντος F. κυκλάμινος BF : κυλάμνον G. 2 τὸ μὲν φύλλον ἄχρηστόν ἐστιν F. μὲν τὰ G. εἰσιν : ἐστὶν B. 3 καθ' ὑγρότητα B. καὶ : τὸν BFG. 4 βάλεται G. ἴσῳ μέλιτος om. (?) F. ἐνίῃς scripsi coll. Crönert, ***Memoria graeca Herculanensis***, p. 258, n. 3; Mayser, ***Grammatik der griech. Papyri***, p. 354, n. 2 : ἐνίεις A : ἐνίοις BG : ἐνίοις <μέλιτι> F. 5 κεφαλῆς ... θώρακα : κεφαλῆς καὶ τοῦ θώρακος F (?), G : κεφαλῆς γενομένας κώρακος B. καταπαύει B. κατακοπτομένης F : κατακοπτόμενος G : κατακεόμενος B. δὲ <δεῖ> B. 6 ἀναλαμβανομένης F : ἀναλαμβανόμενος BG. 7 δὲ om. G. 8 ἂν : ἐὰν F. γυναικῶν F. ἐθέλ(ῃς) G : ἐθέλεις B. κατάγειν G. 9 βάλε BFG. ἀπὸ : ἐκ BFG. 11 τοιαύτη : οὕτως BF. ϛ' : ξ' BG : ιβ' F. μ' : ϛ' F. 12 λιθάργου G. κδ' : θ' F. σεσημμένης BF : σεσειμένης G. ρ' : ν' B : λ' F. ἔλαιον παλαιὸν G. μ' : κδ' F. 13 δύναμις : δυστυχία G. 14-15 πελιώματά ... σκιρρώματα om. G. 14 <καὶ> πελιώματα (τε καὶ om.) F : περιλειώματα (τε om.) B. καὶ ἰόνθους : (καὶ om.) δοθῆνας F. 15 σκιρρώματα : σκληρώματα BF. καὶ om. F. ἔμπνα G : ἔμπτυα B. 16 ῥήξει B : ῥήσσει G : ἐν ῥήξει F. ἀπάνω δυστυχί(ᾳ) G. τῇ : τῆς F. καὶ <τοῦ> BFG. μέλιτος : μεγάλου G. 17 καθουλεῖ F. In ima cod. F pagina haec leguntur : πίνεται τὸ ἀφεψημένον τῆς ῥίζης τῆς βοτάνης τοῦ λέοντος μετ' οἴνου εἰς τὰ θανάσιμα· καὶ μάλιστα πρὸς θαλασσίων καὶ ἑρπετῶν καταπλασσομένη ἔστι ἀντιφάρμακον. 18 - p. 145, 2 cf. Orpheum, *op. cit.*, p. 838. 18 <σύναξον ταύτην ἀπὸ τὰς ια' τοῦ σεπτεβρίου.> Παρθένου F. <ἕκτη>βοτάνη G. 19 Αὕτη om. BFG. δυνάμεις F. ἔχουσα BFG. λίαν : κἂν B. δυναμένας F. 20 φαρμάκων G : τὸ κακὸν B. λαβὼν : λάμβανε G. ψιμμιθίου A : ψιμμίθιον BF : ψιμίνθιον G. ὅσην F. ῥοδίνῳ Wellmann, *op. cit.*, p. 841. 21 τοῦ χυλοῦ BG : τοῦ χυλοῦ <τῆς βοτάνης> F. <τὸ>πάχος F.

καυστα καὶ θεραπεύσεις· τὸ δὲ παράδοξον, ὅτι οὐλοῖ καὶ οὐ φαίνεται καὶ τριχοφυεῖ· ἀπαλλάσσει δὲ ἐν τάχει καὶ τὰ ἐρυσιπέλατα. κἂν ἴσον ἴσῳ μίξῃς μετὰ ῥοδίνου καὶ συγχρίσῃς πυρέττοντας, ἀπαλλάσσει. ἐὰν δὲ κιμωλίας καὶ ἀλόης ἴσα ἴσοις ἀναλαβὼν ποιήσῃς γλοιοῦ πάχος καὶ κεφαλαλγοῦντας τὸ μέτωπον καὶ τοὺς κροτάφους χρίσῃς, παύσεις παραυτίκα τὴν ὀδύνην.

Ζυγοῦ <βοτάνη> σκορπίουρος.

Ταύτης γένη β' καὶ ἐκ μὲν τῶν φύλλων διάγνωσιν οὐκ ἔχει· φέρει δὲ καρπὸν ἡ μὲν κυάμῳ παρόμοιον, ἡ δὲ σταφυλῇ μελαίνῃ· καὶ ἑκάστη ἔχει ὅμοιον τὸ σχῆμα τῇ προειρημένῃ, τὸ δὲ χρῶμα ὁμοίως παραπλήσιον· τὰς δὲ δυνάμεις ἔχουσι διαφόρους. λαμβάνεται δὲ ὁ χυλὸς τῆς κυανωτέρας τοῦ καρποῦ καὶ τῶν φύλλων καὶ σκευάζεται καταπότιον ὑδρωπικοῖς· κνήκου τοῦ καρποῦ <δ', ἀλόης <η', κόκκου κνιδίου <β', σκαμμωνίας <α'· ἀναλάμβανε τῷ χυλῷ καὶ ποίει καταπότια ἄγοντα ἀνὰ <α' καὶ δίδου νήστῃ, τοῖς μὲν ἀρχὴν ἔχουσιν <α', τοῖς δὲ διωγκωμένοις λίαν <β'. ἐκ δὲ τοῦ χυλοῦ τοῦ καρποῦ σκευάζεται πρὸς ἐλεφαντιῶντας τοῦτον τὸν τρόπον· κολοφωνίας <δ', ὀποῦ μήκωνος <η', μύρτων μελάνων <δ', στάχυος <η', ἴρεως ἰλλυρικῆς κεκομμένης καὶ σεσημένης <ιβ'· ἀναλάμβανε τῷ χυλῷ καὶ ποίει τροχίσκους· καὶ δίδου τοῖς μὲν ἀρχομένοις α', τοῖς δὲ ἐπικινδύνως διακειμένοις β'. εἰ δέ τις <θέλει> ἐρρωμένως διακαθαρθῆναι, ἔχων πλατεῖαν ἕλμινθα ἢ ἀσκαρίδας ἢ

1 θεραπεύει F : θεραπεύσεως G. παράδοξον <ἐστὶ [ἐπὶ F] τοιοῦτον> BFG. οὐλῇ (καὶ om.) F. καὶ οὐ : τὸ B. 2 <ἀλλὰ> καὶ τρ. B. ἐντάχεις (om. καὶ) F. κἂν : ἂν F. 3 ἴσον : ἴσω BG. μίξεις FG. συγχρίσεις BF : συγχρίσεως G. πυρέσσοντας F : πυρεάσοντας B. ἀπαλλάξεις <τοῦ πάθους> F. 4-6 cf. Orpheum, *op. cit.*, p. 838. 4 δὲ <καὶ> BFG. ποιήσεις BFG. ὑγροῦ (γλοιοῦ supra) A. 5 ἐν μετόπῳ καὶ κροτάφοις G. χρίσεις F : ἐπίχριε G. 5-6 παύσῃ παραχρῆμα BFG. 6 ἡ ὀδύνη G. 7 <σύναξον ταύτην ἀπὸ τὰς ιγ' τοῦ ὀκτοβόρου> Ζυγοῦ F. βοτάνη ex BFG addidi. 8 <ἔστι δὲ> ταύτης F : <εἰσὶ δὲ> ταύτης B : <εἰσὶ δὲ> ταῦτα G. γένη β' : δύο εἴδη F. 9 κυάμου F. σταφυλῆς μελαίνης F. 9-11 καὶ ἑκάστη ... παραπλήσιον om. F. 9 καὶ ἑκάστης G : ἑκάστη δὲ B. 10 τοῖς προειρημένοις BG : τῶν προειρημένων coniecit et post ἑκάστης posuit E. Meyer, ***Gesch. der Botanik***, II, p. 346, n. 1. τὸ δὲ : καὶ τὸ B. 11 prius δὲ : μέντοι F. διαφόρως (ου suprascripto) A. 11-12 λαμβάνεται ... τοῦ : χύλισμα τῆς κυανωτέρας λαμβάνεται [λαμβάνων G] αὐτῆς ὁ χυλὸς τοῦ τε BG : χυλήσωμεν τὰς τῆς κυανωτέρας καὶ λαμβάνεται αὐτῆς ὁ χυλὸς τοῦ τε F. 13 ὑδρωπικοῖς <οὕτως> B. κίκνου τὸν καρπὸν F. ἀλόην F. κνήδου G. 14 <τὰ> καταπότια F. ἀνὰ om. F(?), G. 15 νήστει A : νήστεις B. ἀρχὰς F. δὲ om. G. διαγκεομένοις F : ἐγκωμένοις B. 16 (τοῦ om.) χυλοῦ τοῦ καρποῦ B : τοῦ καρποῦ τοῦ χυλοῦ F. 17 τὸν τρόπον τοῦτον BFG. 17-18 μύρτων ... στάχυος <η' om. B. 18 δ' : ιδ' F. ἱερέως G. κεκαυμένης BFG. σεσημμένης BF : σεσειμένης G. 19 ἀναλαμβάνεται B: ἀναλαμβανόμενος G. prius καὶ om. B. 20 α' : <α' A : <ἀνὰ> ἕνα F. <β' A : <ἐπὶ> β' F. θέλει ex F addidi. 20-21 τις ἐρρωμένος AG : τοῖς ἐρρωμένοις B. 21 πλατείας ἕλμινθας F : <τὰς> πλατέας ἕλμινθας B : πλάτας ἕλμινθ(ας) G. ἢ prius : καὶ B.

ἄλλα τινά, δίδου τὸ ἥμισυ τοῦ προγεγραμμένου τροχίσκου· καθαίρει γὰρ ἀκινδύνως. ἐκ δὲ τῆς ῥίζης σκευάζεται μάλαγμα πρὸς ὑδρωπικοὺς καὶ σπληνικοὺς καὶ πάντα τὰ ἐντὸς [f. 591] πάθη γινόμενα· σκευάζεται δὲ τοῦτον τὸν τρόπον· ὀρόβων ἀληλεσμένων καὶ σεσημένων <η', κηροῦ <ρκ', τερεβινθίνης <λ', κεδρίας <π', <τῆς ῥίζης κεκομμένης καὶ σεσημένης <λ'>· τὰ ξηρὰ τοῖς τηκτοῖς ἀναλαμβάνων χρῶ.

Σκορπίου βοτάνη ἀρτεμισία.

Ταύτης ὁ χυλὸς λαμβανόμενος ἐν πανσελήνῳ, τοῦ Ἡλίου ὄντος ἐν Κριῷ, μεγίστας ἐνεργείας ἔχει· τριταΐζοντας γὰρ καὶ τεταρταΐζοντας ἀπολύει, ἐὰν ἴσον ἴσῳ μετὰ ῥοδίνου ἀλείψῃς. σκευάζεται δὲ καὶ δι' αὐτῆς πρὸς σεληνιαζομένους τοιόνδε· ὑοσκυάμου <ϛ', ἴρεως ἰλλυρικῆς <ιδ', κολοφωνίας <θ', λαθυρίδος <β'· λεῖα ποιήσας ἀναλάμβανε τῷ χυλῷ καὶ πλάσας ἀνὰ <α' ἀπόθου. ὅταν δὲ θέλῃς δοῦναι, δὸς ἕνα ἐν κυάθῳ γάλακτος ὀνείου, ἔγκλυζε δὲ καὶ σύγχριε καθάπερ καὶ τοὺς τεταρταΐζοντας. γίνεται δὲ καὶ ἄκοπον πρὸς νευρικὰς καὶ ὑστερικὰς διαθέσεις ἐνεργέστατον· κηροῦ <μ', στέατος χηνείου <ιβ', μυελοῦ ἐλαφείου <κ', χαλβάνης <ιϛ', κροκομάγματος <ιβ', ἴρεως ἰλλυρικῆς <ιϛ', ἰρίνου <κ', ἐλαίου παλαιοῦ <κδ', τοῦ χυλοῦ κυάθους ϛ'· λεῖα ποιήσας καὶ συμμίξας ἕψε ἕως γένηται γλοιοῦ πάχος καὶ χρῶ. ποιεῖ δὲ καλῶς καὶ πρὸς τὰ ἀναισθητοῦντα μέρη τοῦ σώματος. σκευάζεται δὲ καὶ

1 ἄλλου F. τὸ ἥμισυ : ἥμισυ BG : ἀν <α' F. 1-2 καθαίρει γὰρ : καὶ καθαίρεις F. 2 ἐκ : ἡ B. 3 prius καὶ : ἢ BG. <εἰς> πάντα G : ἅπαντα B. 3-4 σκευάζεται ... τρόπον om. F. 4 τὸν τρόπον τοῦτον B. σεσημμένων BF : σεσειμμένων G. η' : γ' F. 5 ρκ' : λ' F. τερεβίνθου G. λ' : χ' B : ιβ' F. κεδρέας BFG. 5-6 τῆς ῥίζης κεκομμένης καὶ σεσημένης <λ' ex F addidi. 6 τοῖς om. G. τηκτοῖς : ὑγροῖς BF.

7 <η'>. Σκορπίου βοτάνη ἀρτιμησία B : ὀγδόη βοτάνη $\overset{\pi}{\text{σκο}}$' καλουμένη ἀρτημισ(ία) G : μὴν νοέμβριος. αἱ δυνάμεις τῆς ὀρθῆς περιστερᾶς πολλαὶ καὶ θαυμασταί εἰσιν, καὶ διὰ τοῦτο καὶ δύσπισταί εἰσιν· ἐγὼ δὲ ταύτης τῆς περιστερᾶς, ἣν καὶ ἱερὰν βοτάνην <καλοῦσι add. Baehr>, πεπείραμαι ὡς δοκιμωτάτην οὖσαν παντὸς πάθους τῆς κεφαλῆς καὶ τοῦ τραχήλου καὶ ἑτέρου πάθους· σύναξον δὲ ταύτην, τρίτον τὸν χρόνον εἰς τὰς ιδ' τοῦ μαΐου καὶ εἰς τὰς ι' τοῦ νοεμβρίου, καὶ ὄντος τοῦ ἡλίου ἐν κριῷ· ἔστι δὲ ἡ ὀρθὴ περιστερὰ τοῦ κριοῦ· ἔστι δὲ καὶ τοῦ σκορπίου F. 8 μεταλαμβανόμενος G. 8-9 ἐν κριῷ ὄντος τοῦ ἡλίου FG : ὄντος ἐν κριῷ τοῦ ἡλίου B. 9 <ὠφελεῖ> τριταΐζοντας (ἀπολύει lin. subsequ. om.) F. γὰρ om. FG. 10 ἐὰν om. F. ἴσῳ : ἶσον F. ἀλείψεις B : ἀλειφόμενον F. δὲ καὶ om. F. 11 αὐτῆς : αὐτοῦ BG. πρὸς <τοὺς> BF. τοιόνδε : τοιωσδε BG : om. F. υἱοσκυάμου G. ἱερέως G. 12 κολοφώνης G. λαθυριδ(ος) A ; λαθυρίδων BG : λαθυρίδας F. β' : ϛ' F. <ταῦτα> λεῖα B. 13 ἀνὰ om. F. ἀπόθου ... δὸς ἕνα : καὶ ἐνιεὶς F. θέλεις BG. δὸς : διεὶς B : δ G. 14 κυάθῳ : μυάδω B. <μετὰ> γάλακτος F. ἔκβλυζε F. δὲ om. BFG. καθάπερ : καθὼς F. καὶ om. G. 15 γίγνεται G. prius καὶ om. G. 15-20 ἄκοπον ... σκευάζεται δὲ καὶ om. F. 15 <καὶ> πρὸς G. 16 ἐνεργέστατον <τὸν τρόπον τοῦτον> B. μ' : β' B. 17 χαλβάνου BG. κρόκου μάγματος G : κροκόσμτος B. ἱερέως G. 18 ἰρίνως B. <ταῦτα> λεῖα B. 19 ἕψει BG.

μάλαγμα διὰ τῆς ῥίζης πρός τε τὰς συνδρομὰς καὶ τὰς ἀναισθησίας τῶν νεύρων καὶ ἄρθρων καὶ παραλύσεις· κηροῦ <ρκ', ῥητίνης τερεβινθίνης <κ', ξυλοβαλσάμου <ιβ', ἀμμωνιακοῦ θυμιάματος <ιϛ', χαλβάνης <ιδ', τῆς ῥίζης κεκομμένης καὶ σεσημένης <β', κεδρίας <λβ'· τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. καὶ ὅταν ἑψηθῇ ἡ βοτάνη καὶ συγκαθίσῃ γυνὴ πνιγμοὺς ἔχουσα τῆς ὑστέρας ἢ καρκινώματα, θεραπευθήσεται.

Τοξότου βοτάνη ἀναγαλλίς.

Ταύτης β' εἰσὶν εἴδη, πυρρὸν καὶ κυανοῦν, ἔχει δὲ μόνην τὴν ἐκ τῶν φύλλων εὐχρηστίαν. λαμβανόμενος ὁ χυλὸς τῆς κυανωτέρας καὶ κεκραμένος ἴσον πρὸς ἴσῳ μέλιτος καὶ ἐνιέμενος πρὸς ῥῖνας κατασπᾷ ἐκ τῆς κεφαλῆς φλέγμα καὶ ἐκ τοῦ θώρακος· ὁμοίως δὲ καὶ τῶν ὀδόντων ἀλγήματα λύει. ἐὰν δὲ μετὰ ῥοδίνου μίξας τὸν χυλὸν ἀλείψῃς σου τὰς ὄψεις, ἡδέως ὑπὸ πάντων θεαθήσῃ. ἐὰν δὲ μετὰ μέλιτος καὶ λυκίου ἰνδικοῦ <καὶ> ὄξους δριμυτάτου καὶ τοῦ χυλοῦ διῷς γυναικὶ ἐπιχρίσασθαι, λαμπρυνεῖ τὰς ὄψεις καὶ τετανωτέρας ποιήσει. [f. 591^{v}] τῆς δὲ πυρρᾶς ὁ χυλὸς μετὰ μέλιτος μιγνύμενος ἐνίεται τοῖς ἐπιληπτικοῖς καὶ τοῖς μαινομένοις εἰς ῥῖνας καὶ ὀρθοπνοϊκοῖς καὶ ἀραιοῖ τοὺς

1 διά : ἐκ B. συνδρομὰς om. F. τὰς om. BFG. 2 <τῶν> ἄρθρων B. καὶ παραλύσεις : (καὶ om.) ἐπαναλύσεις F : καὶ <τὰς> παραλύσεις <οὕτως> B. ρκ' : κ' F. ῥητίνης : ῥητίνει G : τηρίνης καὶ F. 3 κ' : ϛ' F. ιβ' : ζ' F. θυμιάματος om. F. ιϛ' : η' F. χάλβης G. 4 ιδ' : θ' F. <τῆς βοτάνης> τῆς ῥίζης BG. β' : ι' F. κεδρέας FG. λβ' : ι' F. 5-6 καὶ ὅταν ... θεραπευθήσεται om. F. 5 ὅταν : ὅτε B. 6 πνιγμοὺς : κνισμοὺς B. ἢ om. B. θεραπευθήσεται <θαυμασίως> G. Post ἀναλαμβάνων χρῶ (l. 5), in F haec leguntur : αὕτη καὶ τὰ φύλλα πινόμενα ποιοῦσι πρὸς ἑρπετά· ἑψηθεῖσα ὅλη σὺν οἴνῳ ἐσχάρας τὰς ἐν παρισθμίοις παραπίπτει, καὶ νομὰς τὰς ἐν στόματι ἀναγαργαριζόμενος ὁ χυλὸς μετὰ ὑσσώνου [ὑσσώπου corr. Baehr] καὶ ἑψήματος ὠφελεῖ· λέγεται δὲ ῥενόμενόν [l. ῥαιν-] τε συμποσίοις τὸ ἀπόβρεμμα ἀδιγυγοτέρους [l. ἀπόβρεγμα εὐδιαγωγοτέρους] ἱστορεῖται [sic] ποιεῖν· δίδοται δὲ τριταΐζουσι πίνειν τὸ τρίτον γόνυ, τεταρταΐζουσι τὸ τέταρτον γόνυ· κρεμαμένη εἰς οἶκον εὐθετεῖ· καὶ ἐν ἐργαστηρίῳ κειμένη εὐπραγίαν παρέχει· καθὼς καὶ ἡ ἀρτεμισία τὰ αὐτὰ ὠφελεῖ· καλεῖται δὲ ἱερὰ βοτάνη διὰ τὸ εὐχρηστεῖν εἰς πολλὰ καὶ εὐθετεῖν πρὸς πάντα παραδόξως, χειράδας [l. χοι-], παρωτιδας, φύματα τραχήλου, βουβῶνας καταπλασσομένη [l. -ην]· θεραπεύει τὰς αἱμορροΐδας ὁ χυλὸς αὐτῆς, μετὰ νίτρου καὶ μέλιτος προσκλυζόμενος, καὶ ἕτερα πολλά [cf. Dioscorid. IV, 61 et infra p. 161, 29 sqq.]. 7 <σύναξε ταύτην ἀπὸ τὰς ιε' τοῦ δεκεμβρίου.> Τοξότου F : <τοῦ> Τοξότου B. <ἡ> ἀναγαλὶς F : ἀναγαλίου B. 8 Ταύτης om. BFG. ἐστὶν F. κυανὸν BFG. 9 εὐχρηστίαν : εὔχρηστον G : εὐρωστείαν B. ἀναλαμβανόμενος G. ὁ χυλὸς τῆς κυανωτέρας λαμβανομενος B. 10 κεκραμμένης G : κρεμάμενος F. ἴσον : ἴσος F. <μετὰ> μέλιτος F : μέλιτι AB. 11 <τὰ> τῶν BF. καὶ : ἐπὶ G. 12 μίξῃς BG. <καὶ> ἀλείψῃς G : <καὶ> ἀλείψεις F : <καὶ> καταλήψεις B. 13 σου om. F. πάντων : ἀνθρώπων ἀεννάως G. θεάσῃ B : θεωρεῖται G. 14 λυκέου F : λύκου G. καὶ ex BFG addidi. ὄξου B. 15 χρήσασθαι G. τετανώτερον G. ποιεῖ BFG. 17 τοῖς om. BG. μαινομένοις : μελαινομένοις F. ὀρθοπνοικαῖς F.

πόρους καὶ θεραπεύει. δεῖ δὲ ἐννοεῖν ὅτι τὰ πάθη οὐ τὴν αὐτὴν δύναμιν ἔχει· διαφέρει γὰρ ἀλλήλων τούτοις, ὅτι ἡ μὲν μανία δίχα πυρετοῦ γίνεται, μετὰ δὲ πυρετοῦ ἡ ἐπιληψία. συνίστανται δὲ τὰ πάθη οὕτως· οἷον ὅταν ἐκ περιψύξεως τῆς μήνιγγος στεγνωθῇ τὰ ἀγγεῖα, πλείονος ὄντος τοῦ ὑγροῦ, τὸ πνευματικὸν ἐναποθλίβεται, καὶ τῷ μὴ ἔχειν διὰ τῶν πόρων ἰθυδρομίαν, <ἀναγκαίως παραλλαγὴν τῆς διανοίας παρασκευάζει. ἡ οὖν προγεγραμμένη δύναμις, φύσει δριμεῖα> οὖσα <καὶ> λεπτυντική, ὅταν ἑνωθῇ, ἀραιοῖ τοὺς πόρους καὶ τὴν τοῦ ὑγροῦ ἔντασιν ἐπισπᾶται· οὕτως οὖν εἰς τὸ κατὰ φύσιν τῶν πνευματικῶν ἀποκατασταθέντων πόρων, λύσιν λαμβάνει τὸ πάθος. σκευάζεται δὲ ἐξ αὐτῆς καὶ ἡ κατάχριστος, ἡ θεραπεύουσα τάς τε νεφελίδας καὶ <τοὺς> φακοὺς καὶ τοὺς ἰόνθους καὶ τοὺς προσφάτους μέλανας ἀλφούς· ἀλκυονείου <δ', κισσήρεως ὀπτῆς κεκομμένης <η', <κηκίδος ὀμφακίτιδος <ιη', λυκίου ἰνδικοῦ <ιβ', ἴρεως ἰλλυρικῆς <ιδ', μέλιτος πικροῦ <η'>, ἀπὸ τοῦ χυλοῦ <κ'· ταῦτα μίξας εἰς ἄγγος κασσιτέρινον, ὅταν θεραπεύῃς προνιτρώσας κατάχριε. ἂν δὲ μετὰ μέλιτος καὶ λυκίου ἰνδικοῦ καὶ τοῦ χυλοῦ ἴσον ἴσῳ μίξῃς καὶ τὸν καυλὸν τοῦ μορίου περιχρίσῃς, ἑτοιμότερος ἔσῃ πρὸς συνουσίαν <καὶ τῇ πλησιαζομένῃ ἡδονὴν ἀπεργάσῃ>.

Αἰγοκέρωτος βοτάνη λάπαθον.

Αὕτη δυνάμεις οὐκ ἔχει πολλάς, ὀλίγας δὲ καὶ ἐνεργεστάτας. ἐὰν γὰρ αὐτῆς τις τὸν χυλὸν τρίψῃ μετὰ κυκλαμίνου καὶ χρίσῃ τὸ σῶμα, ὑπὸ θηρίων οὐ δηχθήσεται, καὶ κύνες δὲ αὐτὸν φεύξονται. ἐὰν δέ τις γένηται κυνόδηκτος, θεραπευθήσεται τῇ διὰ τῆς ῥίζης σκευαζομένῃ

1 πόρους: πόνους AB. δεῖ: χρὴ G. ἐνοεῖς F. ὅτι om. F: ἤτοι B. οὐ <γὰρ> F. 2 ἔχωσι F. διαφέρειν B: διαφέρουσι F. ἀλλήλως G. αἱ μὲν μανίαι F. 3 γίγνηται G: γίνονται F. ἡ ἐπιληψία δὲ μετὰ πυρετοῦς [sic] B. συνίσταται BG. 4 inde ab ἐκ περιψύξεως usque ad finem om. G. μήνιγκος A. στεγνωθῇ: στενοθοῦν F. 5 ὄντος om. F. τό: τί F. <ἐν> τῷ F. μή: μὲν F. <τὴν> διὰ F. 6-7 ἀναγκαίως ... δριμεῖα et καί, quae omiserant AB, ex F addidi. 8 λεπτυϊκὴ B. τὴν om. B. 9 ἔνστασιν BF. 10 λαμβάνειν B. 11 ἐφηλίδας F. τοὺς ex F addidi. 12 τοὺς (ante ἰόνθους) om. B. μέλαινας ἀλφοὺς <οὕτως> B. 13-14 κηκίδος ... μέλιτος πικροῦ <η' ex BF addidi. 13 κυκκίδος B (correxi): κικίδου F. 14 ιη': ιβ' F. ιβ': ια' F. ιδ': ιβ' F. πικροῦ om. F. η': ϛ' F. 15 ἀπὸ om. F. κ': ιε' F. ἄγκος βασσητίρηνον ὅταν <δὲ> B. ὅταν θεραπεύῃς om. F. 16 πρὸς νιτρώσας B: πρὸς νιτράσας F. κατάχριε <καὶ θεραπεύσεις> F. ἐὰν BF. 17 μίξεις F. περιχρίσεις F: ἐπιχρίσῃς B. 18 ἑτοιμότατος B. 18-19 καὶ ... ἀπεργάσῃ ex BF addidi. 18 τὴν πλησιαζομένην B. 20 <σύναξον ταύτην τὴν βοτάνην ἀπὸ τὰς ιϛ' τοῦ ἰαννουαρίου.> Αἰγοκέρωτος F. αἰγοκέρωτου B. 21 δυνάμεις <μὲν> BF. ἔχει: ἔχουσα F. ἐναργεστάτας F. 22 αὐτῆς post χυλὸν posuit F. τις om. B. τρίψῃς B. κυκλαμίνου: καλαμίνου B. 23 δηχθήσῃ <ποτὲ> B. αὐτὸν φεύξονται: ἀπ' αὐτοῦ φ. F: φ. σε B. 24 τῇ: τῷ B: om. F. σκευαζομένης F: σκευαζομένῳ B.

ἐμπλάστρῳ οὕτως· κηροῦ <η', ῥητίνης πιτυΐνης <κ', χαλβάνης <ιη', παρ' ἐνίοις ιβ', στέατος χοιρείου <κ', τῆς βοτάνης τῆς ῥίζης <μ', μύρου στυρακίνου <κ'. ἐὰν δὲ ὑπὸ κυνὸς λυσσῶντος δηχθῇ, ἐμπλάστρῳ μὴ τῇ αὐτῇ χρῶ, ἀλλὰ δίδου ἐκ τοῦ χυλοῦ ἕνα ἡμικύαθον ἐπὶ ἡμέρας Ζ'. ἐὰν δὲ ὑδροφοβήσῃ καὶ μὴ θελήσῃ ῥοφεῖν, κλύσον αὐτὸν σμίγων ἀνὰ γ' κυάθους τοῦ χυλοῦ καὶ ἐλαίου μετὰ μέλιτος ἴσα, καὶ ἀπαλλάξεις.

Ὑδροχόου βοτάνη μάραθρον.

Τούτου τὸν χυλὸν νιπτόμενος, ὑπ' οὐδενὸς ἑρπετοῦ δηχθήσῃ· εἰ δέ τις δηχθείη, πότισον ἐκ τοῦ χυλοῦ ἴσον ἴσῳ μίξας μετ' οἴνου καὶ ἀπαλλαγήσεται· τὴν δὲ ποσότητα τῆς πόσεως δεῖ σε στοχάζεσθαι πρὸς τὴν δύναμιν τοῦ θηρίου. σκευάζεται δὲ καὶ ὑγρά, ἥτις ποιεῖ πρὸς τὰς ἀμβλυωπίας καὶ τὰς ἐπισκοτήσεις τὰς ἐν ὀφθαλμοῖς γινομένας καὶ αὐ[f. 592]θημερὸν λύει· καδμείας βοτρυΐτιδος <η', ψιμυθίου <κη', παρ' ἐνίοις κδ', φοινίκων κεκομμένων <η', χαλκοῦ κεκαυμένου <β', <λυκίου ἰνδικοῦ <β'>, μέλιτος πικροῦ <β'· λεαίνων παρέγχει τῷ χυλῷ, ὥστε γενέσθαι μέλιτος πάχος καὶ χρῶ.

Ἰχθύων βοτάνη ἀριστολοχία.

Ταύτης ἐστὶ δισσὸν τὸ εἶδος· ἣ μὲν γάρ ἐστι θήλεια, ἣ δὲ ἄρρην. δυνάμεσι δὲ κεκόσμηνται διαφόροις. καὶ ἡ μὲν θήλεια φέρει καρπὸν ἐμφερῆ μήλοις, ἧς ὁ χυλὸς λαμβάνεται καὶ σκευάζεται ὑγρὰ πρός τε τοὺς ἀποκεχυμένους καὶ ἀπογεγλαυκωμένους ὀφθαλμούς· καδμείας

1-2 ῥητίνης ... χοιρείου <κ' om. F. 1 χαλβάνου B. 2 τὴν ῥίζαν < λ' F. 3 κ': η' F. λυσσῶντος: λυσσώδους B. δαχθῇ <τις> F. 3-4 ἐμπλάστρῳ ... δίδου om. B. 4 τῷ αὐτῷ F. ἀλλὰ δίδου: δίδου δὲ F. χυλοῦ <ῥοφεῖν> F. ἓν A. ἥμισυ κύαθον B. ἐπὶ ... Ζ': σ σ η (?) F. 5 ὑδροφοβάσῃ <γεγενημένος> F: ὑδροφοβησθῇ B. (καὶ om.) ῥοφεῖν μὴ θελήσει F. αὐτὸν <εἰς ὀσπήτιον> F. σμίγον B: μίσγον F. 6 τὸν χυλὸν F. ἴσον B. <καὶ δὸς ποιεῖν> καὶ ἀ. F. ἀπαλλάξεις <τοῦ πάθους> B. 7 <ἀπὸ τὰς ια' τοῦ φευρουαρίου σύναξον ταύτην> Ὑδροχόου F. μάραθρον <καλούμενον· παρ' ἐνίοις δὲ δράκοντι.> F: μάραθρον <καλούμενον. παρ' ἐνίοις δὲ λάπαθον γέγραπται.> B. 8 (Τούτου om.) νιπτόμενος οὖν ὁ χυλὸς F an τῷ χυλῷ? <τίς> ὑπ' B. ἑρπετοῦ: θηρίου F. δειχθῇ F: δηχθήσεται B. 9 δηχθείη: δηχθῇ F. ἴσῳ: ἴσα F. 10 δὲ om. F. τῆς πόσεως om. F: τῆς δόσεως B. 11 δύναμιν: δῆξιν B. ποιεῖ om. BF. 12 ἐπισκοτήσεις <καὶ> B. ἐν <τοῖς> BF. γενομένας B. καὶ om. F. 13 αὐθημερινὸν F. λύει <σκευάζεται δὲ οὕτως.> B. κη': ι' F. 14 κδ': ιβ' F. φοινίκων ... κεκαυμένου <β' om. F. κεκομμένων scripsi: κε' A: κεκαυμένων B. 14-15 λυκίου ἰνδικοῦ <β' [α' F] ex BF addidi. 15 πικροῦ: πονηροῦ F. <ταῦτα> λεαίνων B. παρέγχυε B: πάρεχε F. τοῦ χυλοῦ A: τὸν χυλὸν F. 16 γίνεσθαι πάχος μέλιτος B. In ima codicis F pagina haec leguntur: καταπλασσομένη ἡ ῥίζα σὺν βολβίτης [l. -τοις] ὠφελεῖ ποδαγρικούς, quibuscum abrumpitur in codice textus. 18 Ταύτης δὲ διττὸν εἶδος καὶ ἡ μὲν B. 19 δέ: γὰρ A. καὶ ἡ μὲν θήλεια: ἀρξόμεθα δὲ πρῶτον ἀπὸ τῆς θηλείας. αὕτη B. 21 ἀπὸ ἐκχυμένους B. γεγλαυκωμένους B.

βοτρυίτιδος κεκαυμένης καὶ πεπλυμένης οἴνῳ φαλερικῷ <η', χαλκοῦ κεκαυμένου <δ', στίμμεως <ϛ', πεπέρεως λευκοῦ <β', μέλιτος ἀττικοῦ <δ', λυκίου ἰνδικοῦ <α'· λεαίνων ἔγχει τῷ χυλῷ, ὥστε γενέσθαι γλοιοῦ πάχος, καὶ χρῶ. αὕτη ἡ δύναμις λίαν ἀπεγνωσμένα πάθη ἰᾶται. γίνεται δὲ περίχριστος ἐκ τοῦ αὐτοῦ χυλοῦ, ἥτις ἰᾶται ἀλωπεκίας, λεύκας, ἀλφούς, λέπραν, ψώραν, τἄλλα πάντα τὰ δοκοῦντα ἀθεράπευτα εἶναι. σκευάζεται δὲ οὕτως· θείου ἀπύρου <μ', ἀφρονίτρου <κ', σανδαράχης <ιβ', λυκίου <ιβ', ἀρσενικίου <ιβ'· λεαίνων παρέγχει τῷ χυλῷ, ὡς γενέσθαι γλοιοῦ πάχος· ὅταν δὲ θεραπεύῃς, προνιτρώσας χρῶ. ἐκ δὲ τοῦ χυλοῦ τῶν φύλλων σκευάζεται περίχρισμα τοῦ προσώπου λειότητα καὶ λαμπρότητα ποιοῦν· φακοὺς ἀναιρεῖ καὶ ἀλφοὺς μέλανας. σκευάζεται δὲ οὕτως· ἐλλεβόρου λευκοῦ <δ', τῆς χίας <κδ', ἴρεως ἰλλυρικῆς κεκομμένης καὶ σεσημένης <ζ'· εἶτα παρέγχει τῷ χυλῷ, ὥστε γενέσθαι γλοιοῦ πάχος, καὶ χρῶ. διὰ τῆς ῥίζης δὲ σκευάζεται κολλούρια πρὸς πυρώματα καὶ βόθρια καὶ τὰ ῥυπαρὰ ἐν τοῖς ὀφθαλμοῖς· αὕτη δὲ αὐτὰ ἀνακαθαίρει καὶ κατουλοῖ καὶ ἀναπληροῖ· καδμείας βοτρυίτιδος <η', μάννης λιβάνου <η', κρόκου <ε', τῆς ῥίζης κεκομμένης καὶ σεσημένης <κδ', κόμμεως <ιβ'· ἀντὶ ὕδατος οἴνῳ ἀμιναίῳ ἀναλάμβανε. σκευάζεται δὲ ἔμπλαστρος πρὸς τὰ ῥυπαρὰ καὶ παλαιὰ ἕλκη καὶ δυσεπούλωτα καὶ ὅσα κατ' ἐπιρευματισμὸν ἰχώρων δριμέων ἀπουλοῖ καὶ πάλιν ἀναξύεται· κηροῦ <ρκ', ῥητίνης τερεβινθίνης <μ', μάννης λιβάνου <μ', ἰοῦ ξυστοῦ <ζ', <τῆς ῥίζης <π' >, ἐλαίου παλαιοῦ <ξ'· [f. 592v] τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. αὕτη ἡ ἔμπλαστρος, ἐνιεμένη διὰ ῥοδίνου καὶ μέλιτος, τὰ ἐν ῥόθωσιν ἕλκη καὶ ὠτίοις καὶ ἐν στόματι θεραπεύει· παραδόξως ποιεῖ πρὸς τὰς ἐν αἰδοίοις καὶ δακτυλίοις διαθέσεις. † τοῖς δὲ ἀστραγαλωτοῖς ἐκ μὲν τοῦ χυλοῦ πρὸς τὰς ἐν θώρακι γινομένας διαθέσεις, οἷς ἔμπυον καὶ φλέγμα δυσῶδες φέρηται· ἀνακαθαίρει γὰρ αὐτὰ καὶ κατουλοῖ· κρόκου <δ', κασσίας σύριγγος <η', βδελλίου <δ', παρ' ἐνίοις β', ὀρόβων πεφρυγμένων καὶ σεσημένων <β', ἀμυγδάλων πικρῶν κεκαθαρμένων <η'· ταῦτα λεῖα ποιήσας παρέγχει τῷ χυλῷ τὰ ἐνδεχόμενα καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ <α'. δίδου δὲ ἕνα πρωῒ καὶ ἕνα εἰς κοίτην. διὰ δὲ τοῦ χυλοῦ τῶν μήλων τῆς βοτάνης σκευάζεται τροχίσκος πρὸς λιθιῶντας καὶ πρὸς φλεγμονὴν κύστεως καὶ ψωρίασιν· καὶ ὅσοις ἡ οὐρήθρα ἥλκωται, ὥστε μετὰ πόνου καὶ κατ' ὀλίγον οὐρεῖν, καλῶς ποιεῖ, καὶ τρυγώδη ἢ πυώδη φέρεται τὰ οὖρα· πετροσελίνου σπέρμα, πηγάνου, δαύκου σπέρμα ἀνὰ <δ', κόστου <η', πεπέρεως μακροῦ <β'· λεῖα ποιήσας βάλλε μέλιτος ἀττικοῦ καὶ τοῦ χυλοῦ τὸ αὔταρκες καὶ πλάσας τροχίσκους ἄγοντας ἀνὰ <β' δίδου α' ἐν οἴνου λευκοῦ κυάθοις γ'. τοῦτο τοὺς λιθιῶντας διαλύει καὶ ἐξορθοῖ καὶ τὰς σαρκώσεις ἀνακαθαίρει καὶ κατουλοῖ ὅσα δυσούλωτα ἐν ἡμέραις γ', παρ' ἐνίοις δὲ θ'. ἐκ δὲ τῆς ῥίζης σκευάζεται μάλαγμα πρὸς χοιράδας καὶ ἀθερώματα καὶ στεατώματα καὶ ἀποστήματα καὶ πρὸς πάντα τὰ δυσδιάλυτα· κηροῦ <β', ῥητίνης τερεβινθίνης <μ', ἀμμωνιακοῦ θυμιάματος <ιβ', κεδρίας <ξ', τῆς ῥίζης κεκομμένης καὶ σεσημένης <π'· τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. αὕτη ἡ δύναμις τὰ σκληρὰ διαχέει, τὰ δὲ συνεστραμμένα ῥήσσει· ὅταν δὲ συρρήξῃ, χρῶ τῇ ἐκ τῆς κληματίτιδος ἀνιεμένῃ· καθαίρει γὰρ καὶ οὐλοῖ.

1 φαλερικῷ corrigere nolui. 3 <ταῦτα> λεαίνων ἔγχυε B. 4 καὶ χρῶ om. B. αὕτη <γὰρ> B. 4-5 γίνεται ... ἥτις ἰᾶται om. B. 5-6 λευκὰς. ἀλφοὺς <λευκοὺς> B. 6 τἄλλα : ἄλλα τὲ B. εἶναι ἀθεράπευτα B. 7 ἀπείρου AB; correxi. ἀφονίτρ(ου) AB; correxi. 8 <ταῦτα> λεαίνων παρέγχυε B. 9 πρὸς νιτρώσας B. χρῶ <ἤτοι κατάχριε> B. 10-11 λαμπρότητα καὶ λειότητα B. 11 alterum καὶ om. B. μέλαινας B. 12 λευκοῦ om. B. δ' : α' ς'' B. 13 <ζ' om. B. παρέγχυε τοῦ χυλοῦ B. 14 διὰ δὲ τῆς ῥίζης σ. B. 18 ἀναλαμβάνων <χρῶ> B. 19 δυσκατούλωτα B. 20 ἀπουλοῖ : ὅταν κατουλωθῇ B. 21 μ' : β' B. 22 ξυστοῦ om. B. τῆς ῥίζης <π' ex B addidi. 23 <καὶ> ἀνιεμένη μετὰ B. 24 καὶ <ἐν> ὠτίοις post θεραπεύει posuit B. 25 παραδόξως om. B. ποιεῖ <δὲ καὶ> B. τὰς om. B. 27 φέρεται B. 28 prius δ' : ιδ' B. η' : κ' B. 29 β' : η' B. 29-30 ἀμυγδάλων ... κεκαθαρμένων <η' om. B. 30 τοῦ χυλοῦ B. 31 ἐνδεδομένα B. <α' om. B.

2 ὅσοις : ὅσα B. 3 καλὰ B. τρυγώνη B. 4 πηγάνου ... ἀνὰ om. B. κόνστου B. 5 μακροῦς B. 6 < ex B addidi. 7 οἴνω λευκῶ κυάθους AB; correxi. ἐξορθοῖ : ἐξωθεῖ B. 8 ὅσα om. B. 9 ἐκ : ἡ B. 10 <εἰς> ἀποστήματα B. 11 κηροῦ om. B. β' : ρ' B. 12 κεδρέας B. 14 διαχέει : διαδέχεται B. συνεσταμμένα A (correxi) : οὖν ἐστραμμένα B. συρρήσει B. ἐκ : ἐπὶ τῇ A. 15 κλιματίδος B. καθαίρει : ἔνθα, φεῖ B.

II

Complura opuscula traduntur, in quibus plantas septem planetis astrologi assignaverunt. De quibus vide quae congesserunt Bouché-Leclercq, ***L'astrologie grecque***, p. 317; Roscher, ***Lexikon der griech. und röm. Mythologie***, s. v. ***Planeten***, col. 2533-2534; Hubert, in Daremberg et Saglio, ***Dict. des Antiquités***, s. v. ***Magia***, p. 1507, col. 1 et n. [1]. — Opuscula duo Hermetis Trismegisti nomine ornata

[1] Non omittendus est, quanquam non de planetis sed de mensibus agitur, ***Tractatus de septem herbis et de septem eorum praelibatis*** [***planetis*** correxit Haupt, ***Zu den Kyraniden des Hermes Trismegistos***, ***Philologus***, XLVIII, 1889, p. 371] ***attributis***, quem Sathas (Μνημεῖα ἑλληνικῆς ἱστορίας, VII, 1888, p. LXIII) ex Veneto App. cl. IV. 57 edidit (cf. Haupt, *loc. cit.*). Opusculum cum his verbis incipit : « Flaccus Africus [Africanus ***correxit Haupt***] discipulus Belbenus Claudeo Atheniensi Epilogico studium continuare et finem cum laude. Post antiquorum Kiranidarum volumina tibi nota et a Patricio consodali tuo relacionem, inveni in civitate Troiana in monumento reclusum presentem libellum cum ossibus primi regis Kiranidis, qui *Compendium* intitulatum eo quod per distinctionem perficiam a maiore Kiranidis volumine cum diligentia compilatum est studio vehementi. Tractat enim de septem herbis septem prelibatis attributis... ». Hic tractatus cum libris Κυρανίδες inscriptis, quos de Mély-Ruelle, ***Les Lapidaires***, II, p. 3 sqq. ediderunt, nihil omnino cohaeret. Confer enim e. g. de ***peonia*** (p. LXV) et de ***satirio*** (p. LXVI) capitula cum ***Cyranid.***, pp. 13 et 36.

quibus codicibus et quibus formis servata sint, hic edissere mihi propositum est.

I. Opusculum prius formis duabus in codicibus occurrit. *a)* Alteram melioris notae codices tres, quod sciam, servaverunt (de quibus cf. supra p. 132): codex Parisinus gr. 2256 [Paris. 41], f. 580 [A], saec. XV, ex quo opusculum infra editurus sum; Venetus App. cl. V. 13, f. 149 [D], saec. XV, codici Parisino proximus; Mosquensis 415, f. 63 [E], saec. XV; opusculi frustulum (p. 164, 12-21) tenet Parisinus gr. 1603, f. 281ᵛ [C], saec. XVI. — *b)* Alteram deteriorem codex Parisinus gr. 2502 [Paris. 48], f. 12ᵛ [B], saec. XVI et versio latina Parisiis anno 1528 impressa [1] (de qua vide supra p. 132) praebent.

II. Opusculi alterius [2] formas tres inveni, quarum duae *(a b)* artissimo vinculo cohaerent.

a. α) Hermetis Trismegisti nomine inscriptum opusculum, cui praemittitur de duodecim signorum plantis epitome, in *Catal.*, VII, p. 233 legitur. Quod codices Erlangensis 89 [German. 33], f. 175ᵛ, saec. XV, ex quo Boll opusculum edidit, Venetus 335 [Venet. 7], f. 324ᵛ, saec. XV, Parisini gr. 2419 [Paris. 4], f. 265ᵛ, saec. XV, 2180 [Paris. 38], f. 85ᵛ, saec. XV, praestant. Planetae sic disponuntur: ☉ ♀ ☿ ♄ ♂ ♃ ☾.

β) Opusculi illius forma contractior in codice Neapolitano II. C. 33 [Ital. 19], f. 387ᵛ, saec. XV Ptolemaei nomine exornata atque in Vindobonensibus phil. gr. 179 [Vindob. 3], f. 31ᵛ, saec. XIV/XV et 190 [Vindob. 7], f. 83ᵛ, saec. XV scriptoris nomine destituta occurrit. Quam bis editam et in *Catal.*, IV, p. 134 et in *Catal.*, VI, p. 83 legeris. Forma etiam contractiore in Parisino gr. 2316 [Paris. 44], f. 337, saec. XV, nullo scriptoris nomine praemisso, eadem epitome comparet. — Planetae mutato aliquantulum ordine sic disponuntur: ☉ ♀ ☿ ♂ ♃ ♄ ☾.

b. In codicibus Parisino gr. 2256 [Paris. 41], f. 582 [A], saec. XV, Veneto App. cl. V. 13, f. 151ᵛ [D], saec. XV, Mosquensi 415, f. 65 [E], saec. XV (cuius scripturam, a se ipso ut videtur contractam, Pitra, ***Analecta sacra et classica***, V, p. 282, edidit) opusculi eadem fere forma, quam litteris *a. α* signavi, priorem de eadem re

[1] In hac versione, cum ex codice codici Paris. 2502 proximo translata sit, epilogus tamen legitur, quem alibi nondum inveni: [F. 40] « Cum ergo tanta me Deus praeceptis suis vovisset, gratias agebam tam facili impetratione me omnem curam recepisse. Percontabar autem si qua esset herba vel genus lapidis, per quod posset homo immortalis permanere: et Deus multa quidem herbarum et lapidum supra terram genera esse dicebat, quae si adepti fuissent homines, perpetuam vitam haberent: sed fas non esse scientiam eorum homines cognoscere. Cum enim parvum tempus vitae sortiti homines leges neglegant, et insidiis mutuis animas suas perdere conentur, et manus contaminare tantis malis avide studeant, parvo tempore victuri, hi si prolixitatem temporis acceperint, nec Deo ipsi parcent. »

[2] Huius opusculi loca aliqua cum Ps.-Apuleii ***De medicaminibus herbarum*** libro (ed. Ackermann, 1788) consentiunt. Confer enim de πενταφύλλῳ et ἀρνογλώσσῳ capitula cum Ps.-Apuleii capitulis 3, 2, etc.

libellum (I) sequitur, planetarum tamen ordine ita mutato, ut sic disponantur: ☉ ☾ ♄ ♃ ♂ ♀ ☿. Quod capitulum infra p. 159 editurus sum.

c. Formam tertiam Alexandro regi addictam unus codex Ambrosianus H 2 inf. [Mediol. 23], f. 250, saec. XVI servavit. Frustulum in *Catal.*, IV, p. 135 n. editum est, ex quo haec forma aliis uberior videtur. Planetae sic disponuntur: ♄ ☉ ☾ ☿ ♃ ♀.

* * *

Hermeticum tractatum qui ex utroque opusculo (I atque II *b*) et epilogo (p. 163-165) constat, post Ioannem Pitra (***Analecta sacra et classica***, V, p. 279) iam editurus sum.

[F. 580.] Ἑρμοῦ τοῦ Τρισμεγίστου πρὸς Ἀσκληπιὸν περὶ βοτανῶν τῶν ζ' ἀστέρων.

Ἡλίου βοτάνη κιχώριον.

Πρώτη βοτάνη Ἡλίου προσαγορευομένη κιχώριον. τούτου ὁ χυλὸς μετὰ ῥοδίνου μίσγεται καὶ γίνεται σύγχρισμα. εὐθετεῖ δὲ καρδιακοῖς καὶ ἀπαλλάσσει, λύει δὲ τριταίας καὶ τεταρταίας περιόδους καὶ σὺν ἐλαίῳ δὲ ὠμῷ ἴσως σμιγόμενον κεφαλαλγίας παύει. εἰ δέ τις πρὸς ἀνατολὴν βλέπων χρίσειεν αὑτοῦ τὸ πρόσωπον ἐπικαλεσάμενος τὸν Ἥλιον καὶ δεηθεὶς δοῦναι αὐτῷ χάριν, ἔσται προσφιλέστατος πᾶσιν ἀνθρώποις ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. σκευάζεται δὲ ἐκ τῆς ῥίζης καταπότιον πρὸς καρδιακοὺς καὶ στομαχικοὺς ὅσοις ὁ στόμαχος κεκάκωται μὴ προσιέμενος τὰς τροφὰς καὶ ἐπὶ τῶν προσλαμβανόντων μέν, ἀπεπτούντων δέ· στάχυος <η', κρόκου <β', μέλιτος ποντικοῦ <ιδ', σχίνου ἄνθους <ς', τῆς ῥίζης

A (= Paris. gr. 2256 [41]) descripsi. **B** (= Paris. gr. 2502 [48]), **C** (= Paris. gr. 1603), quo frustulum tantum (p. 164, 12-21) servatur, contuli. **D** (= Venet. App. cl. V. 13) ex imagine photographica contuli. Codicis **E** (= Mosq. 415) varias lectiones de ***Analectis sacris*** (V, p. 279) a Pitra editis sumpsi. 1-2 Ἑρμοῦ ... ἀστέρων: πᾶσεσαφηνιασμένων οὖν τῶν καθ' ἕκαστον. τούτοις βοτανῶν δυνάμεων, ἀνάγκη καὶ τῶν καθ' ἕκαστον ἀστέρα παραδοῦναι, διαθέσεις B. 3 Ἡλίου ... κιχώριον [κιχώριον scripsi: κιχω ρ..' D: κιχω ρ, A]: Ἥλιος E: ποῖα βοτάνη ἡλίου B. 4 προσαγορευομένη <. ἡλιοτρόπιον. εἰσὶ δὲ πλείονα εἴδη ἡλιοτροπίων. ἀλλὰ τούτων πάντων ἐνεργέστατον, ἣ λέγεται> B. κιχώριον sic B: κιχω ρ..' D: κιχω ρ, A: κίχορα (?) E. 5 σμίγεται B: μίσγηται (?) E: μίγνυται Pitra. σμίγεται μετὰ ῥοδίνου B. γίνηται (?) E. 6 ἀπαλλάσει <αὐτάς> E. 7 ὠμῷ B: ὠμοῦ E. ἴσως scripsi: ἴσω AD: ἴσῳ E: om. B. μιγόμενον E: σμιγνύμενον B. 8 χρήσειεν A: χρίσει B: χρήσει E. ἑαυτοῦ B. Ἥλιον litteris cryptographicis scriptum in B. 9 δεηθῇ B. 10 δὲ <καὶ> E. κατάποτα (?) E. 11-12 μὴ π. τ. τροφὰς: τῶν τροφῶν μὴ προσιεμένων B. 12 προσλαβομένων B. μὲν: δὲ B. στάχυος scripsi: στάχους ABD: στάχυς (?) E. 13 symbolum <, quo δραχμή significatur, λίτρᾳ Pitra interpretatus est. κρόκον (?) E. ιδ': ιβ' E. σχίνου: ἐχοίνου B.

τῆς βοτάνης <κδ'· λεάνας ἀναλάμβανε μέλιτι ὡς παλαιοτάτῳ καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ <α' καὶ δίδου ἀνὰ ἕνα τοῖς μὲν καρδιακοῖς δι' ὕδατος, τοῖς δὲ στομαχικοῖς δι' οἴνου καλλίστου.

Σελήνης βοτάνη ἀγλαόφαντον.

Αὕτη ἐν τῷ τῆς Ἀραβίας ἐπὶ τὸ πλεῖστον γεννᾶται κλίματι καὶ πάσχει τὸ ὅμοιον τῇ Σελήνῃ· αὐξανομένης γὰρ αὔξεται καὶ αὕτη, ληγούσης δὲ μειοῦται. ἔστι δὲ πρὸς πλεῖστα εὔχρηστος λήγουσα. τῷ γὰρ χυλῷ αὐτῆς ἐὰν μετὰ ῥοδίνου συγχρίσῃς τριταΐζοντας καὶ τεταρταΐζοντας, ἀπαλλάξεις τοῦ πάθους. ἐὰν δέ τις ὑπὸ δαιμονίου κρατῆται οἱουδήποτε καὶ ὑποθυμιάσῃς τὴν ῥίζαν, φεύξεται τὸ δαιμόνιον παραχρῆμα. ἐὰν δέ τινι τῶν προγεγραμμένων ἐκ τῆς αὐξανομένης βοτάνης περιάψῃς ἢ ὑποθυμιάσῃς, τὸ πάθος ἐπαύξεται. ἐὰν δὲ καὶ ἐν θαλάσσῃ χειμῶνος τὴν ῥίζαν ὑποθυμιάσῃς, τὸν χειμῶνα παύσεις. σκευάζεται δὲ καὶ ἐκ τῶν ῥιζῶν ἀμφοτέρων, τῆς τε αὐξανομένης καὶ μειουμένης, ἔμπλαστρος τῆς αὐτῆς δυνάμεως καὶ βαθμῶν καθάπερ ἐκ τῆς κληματίτιδος ἀριστολοχίας καὶ ἡ μὲν ἐκ τῆς μειουμένης ῥίζης ποιεῖ πρός τε χοιράδας καὶ [f. 580v] παρωτίδας καὶ πάντα τὰ ἐπιγεννήματα καὶ ὑπερσαρκώματα, ἡ δὲ ἐκ τῆς αὐξανομένης πρὸς τὴν τῶν λειπόντων ἀναπλήρωσιν. ὑπάρχων δὲ συνετὸς δυνήσῃ νοεῖν ὅτι παρὰ τὰς διαφορὰς τῆς χρήσεως πᾶν τὸ γινόμενον ἐν ἀνθρώποις πάθος σωματικὸν διὰ ταύτης δύναται τῆς ἐνεργείας αὔξεσθαι καὶ μειοῦσθαι.

1 κδ' : δ' E. <ταῦτα> λεάνας B. μέλιτα ὡς παλαιώτατον E : οἰνομέλιτι ὡς παλαιότατον B. 2 α' : β' E. διδοὺς E. ἀνὰ ἕνα om. B : ἕνα ἕνα E. 2-3 τοῖς μὲν ... καλλίστου : τοῖς μὲν καρδιακοῖς, ἀνὰ ς''. τοῖς δὲ στομαχικοῖς, καὶ αὐτοὺς, ἀνὰ α'. πλὴν μετὰ οἴνου. τοῖς δὲ καρδιακοῖς δι' ὕδατος B. 4 <σελήνης βοτάνου> Σελήνης B. Σελήνης : Σελήνη (?) E. ἀγλαόφαντος E : ἀγλαοφυόν τις B. 6 τὸ : τί B. τῆς σελήνης B. αὐξανομένη AD. γὰρ <αὐτῆς> B. 7 πλεῖστόν E. εὐχρήστους B. λήγουσα : λεγοῦσα (?) E : ληγούσης <σελήνης> Pitra ; at cf. l. 11 τῆς αὐξανομένης βοτάνης etc. 8 ἐὰν <μὲν> D. συγχρίσειν B. καὶ τεταρταΐζοντας om. B. 9 ἐὰν : εἰ B. κρατεῖται B. 10 ὑποθυμιάσεις B. τὸ δαιμόνιον παραχρῆμα : παραυτίκα τὸ δαιμόνιον B. 11 προγεγραμμένων <λαθὲν> B. αὐξομένης B. 12 πάθος <μᾶλλον> B. καὶ ἐν om. B. χειμῶνος <χαλεπαίνοντος> Pitra. 13 ὑποθυμιάσῃς : ἐπιθυάσεις B. καὶ om. B. 13-14 καὶ ἐκ τῶν ... ἔμπλαστρος : ἔμπλαστρος ἐκ τῶν ῥιζῶν ἀμφοτέρων τῆς τε αὐξομένης καὶ τῆς μειουμένης B. 15 τῆς αὐτῆς ... βαθμῶν om. B. ἐκ : ἐπὶ ADE. κληματίτιδος : κλιματίδος τῆς B. 16 ῥίζης om. B. τε om. B. χοιρώδας E. 18 λειπόντων : λοιπῶν B. 19 νοεῖν δυνήσῃ B. ὅτι : ὡς Pitra. 20 γεννώμενον B. σωματικὸν <καὶ ψυχικὸν> B. An καὶ ψυχικὸν inserendum ? δύνασθαι ADE : δύνασθαι delevit Pitra. 21 αὔξασθαι (?) E.

Κρόνου βοτάνη ἀείζωον.

Αὕτη μόνη διὰ ἑψήσεως χυλίζεται· τὴν δὲ τάξιν τοῦ χυλισμοῦ περίεργον ἐπιδεικνύναι σοι· δεῖ γὰρ αὐτὸν μέλιτος πάχος ἔχειν. ποιεῖ δὲ ἡ δύναμις πρὸς ποδάγρας· εἴδη δὲ ποδάγρας εἰσὶ β', θερμὸν καὶ ψυχρόν· γινώσκεται δὲ τὸ ψυχρὸν ἐν τῷ ταῖς προσαγωγαῖς τῶν θερμῶν ἥδεσθαι, τὸ δὲ θερμὸν τοὐναντίον. ὅταν οὖν τὴν διαφορὰν τοῦ πάθους ἐπιγνῷς, πρὸς μὲν τὸ θερμὸν μετὰ ῥοδίνου μεμιγμένῳ τῷ χυλῷ χρῶ καταχρίων τοὺς πόδας, πρὸς δὲ τὸ ψυχρὸν μετὰ μύρου συριακοῦ. ἐὰν δὲ ᾖ λίαν χαλεπὴ ἡ διάθεσις, πρὸς μὲν τὴν τοῦ ψυχροῦ δύναμιν πρόσμιγε καστόριον, πρὸς δὲ τὴν τοῦ θερμοῦ τὸν χυλὸν τῆς ἀρτεμισίας.

Διὸς βοτάνη εὐπατόριον.

Ταύτης ὁ μὲν χυλὸς ποιεῖ ληθαργικοῖς καταπότιον σκευαζόμενος· στάχυος <β', κασσίας σύριγγος <δ', ὀποπάνακος <β', λιβυστικοῦ <η', μελανθίου <δ'. λεῖα ποιήσας ἀναλάμβανε τῷ χυλῷ καὶ ποίει καταπότια ἄγοντα ἡμίδραχμον καὶ δίδου μετὰ ὕδατος κυάθου α'. καὶ μετὰ ῥοδίνου δὲ μιγνύμενος καὶ ἀλειφόμενος ὠφελεῖ. σκευάζεται δὲ καὶ διὰ τῆς ῥίζης τροχίσκος πρὸς διαρροϊκοὺς καὶ δυσεντερικοὺς καὶ πᾶσαν κοιλιακὴν διάθεσιν οὕτως· μύρτων λευκῶν οὐγγ. ιβ', ῥοῦ συριακοῦ οὐγγ. κδ', σιδίων ῥοᾶς οὐγγ. κδ', ῥίζης τῆς βοτάνης οὐγγ. κδ'. ταῦτα λεῖα ποιήσας ἀναλάμβανε οἴνῳ αὐστηροτάτῳ καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ οὐγγ. α' καὶ τοῖς μὲν πυρέσσουσι δίδου ἕνα τροχίσκον σὺν ὕδατι, τοῖς δὲ τοὐναντίον σὺν οἴνῳ· ἵστησι γὰρ τὰ τῆς κοιλίας ῥεύματα παραυτίκα. πλέον δὲ τοῦ ἑνὸς τροχίσκου μὴ δίδου, ἐπεὶ μέλλεις ζητεῖν

1 Κρόνου : ἡ (?) E. ἀείζωον <λεγόμενον> B. 2 δὲ τάξιν : διάταξιν E. 3 περίεργον ἐπιδεικνύναι : περιέχει καὶ ἐπιδείκνυμί B. αὐτὸ ADE. πάχους B. ἔχειν om. B. ποιεῖ : ποῦ B. 4 εἴδη : ἐκ B. 4-5 ψυχρὸν καὶ θερμὸν B. 6 ἥδεσθαι om. E : ἧδε B. 7 ἐπιγνῷς om. E : ἐπιγνοῦς B. post θερμὸν lacunam significavit Pitra. μεμιγμένου AD (correxi) : μεμιγμένον BE. τὸν χυλὸν B. 8 κατάχρισον E. 9 ᾖ post χαλεπὴ collocavit B. ἡ om. E. τοῦ : τούτου E. 10 πρόσμισγε Pitra. κάστορα (?) E. τὴν τοῦ θερμοῦ : θερμὸν E. τὸν χυλὸν Pitra : τοῦ χυλοῦ codd. 10-11 ἀρτεμισίας Pitra : ἀρτιμησίας ADE : ἀρτιμισίας B. 12 Ζεὺς βοτάνη (?) E : βοτάνη διός B. εὐπατόριον <λεγομένη. κατὰ δέ τινας πενταδάκτυλος> B. 13 λειθαργυρικοῖς E. <εἰς> καταπότιον B. κατάποτα (?) E. σκευαζόμενος : σκευάζεται <δὲ οὕτως> B. 14 η' : κ' B. 15 <ταῦτα> ποιήσας λεῖα B. κατάποτα (?) E. 16 ἡμίδραγκον B. <καὶ> μετὰ B. κυάθου α' scripsi : κύαθον α' ADE : κύαθον ἕνα B. 17 prius δὲ om. B. σμιγνύμενος B. ὠφείλει E. alterum καὶ om. E. 18 δυσσενταρικούς E : λυεντερικοὺς B. <εἰς> πᾶσαν B. 19 κοιλικὴν B. οὐγγ. hic et infra pro < AD : ὀγγ. E : < ut antea B. 20 σιδῶν B : οἰδίων E. ῥοᾶς <κεκομμένας καὶ σεσημμένας> B. <τῆς> ῥίζης B. κδ' : κ' B. 21 <ἐν> αὐστηροτάτω οἴνω B. 22 οὐγγ. scripsi : Ϛγ. AD : στ. E : <' B. τροχίσκον om. B. σὺν : ἐνιεὶς B. 23 τοὐναντίον : ἀπυρέτοις B. σὺν : ἐν B. γὰρ : δὲ καὶ B. τὸ (?) τῆς κοιλίας ῥεύγματα E : τὰ ῥεύματα τῆς κοιλίας B. 24 παραυτίκα : παράχρῆμα B. πλεῖον B. ἐπεὶ μέλλεις om. B.

πάλιν πῶς ἂν χαλάσῃς τὴν κοιλίαν. σκευάζεται δὲ διὰ τῆς ῥίζης καὶ κολλύρια πρὸς λευκώματα καὶ πτερύγια καὶ ὀνύχια καὶ τὰ τούτοις παραπλήσια τὸν τρόπον τοῦτον· λίθου αἱματίτου οὐγγ. η', καδμίας κεκαυμένης οὐγγ. δ', [f. 581] μολίβδου κεκαυμένου καὶ πεπλυμένου οὐγγ. γ', κρόκου οὐγγ. η', τῆς ῥίζης κεκομμένης καὶ σεσημένης οὐγγ. κδ', σμύρνης οὐγγ. δ'· σκεύαζε ταῦτα οἴνῳ αὐστηρῷ καὶ χρῶ. ἐπιχριόμενον δὲ αἴρει ὑπώπια καὶ πᾶν πελιδνὸν καὶ λειχῆνας καὶ τὰς μελαίνας οὐλὰς καθαίρει.

Ἄρεως βοτάνη πευκέδανος.

Ταύτης ὁ χυλὸς ἐνεργεῖ πρὸς τὰ τῶν ἰοβόλων θηρίων δήγματα σκευαζομένου ἀκόπου τὸν τρόπον τοῦτον· μυελοῦ ἐλαφείου οὐγγ. μ', σαμψύχου οὐγγ. ιβ', κυπέρεως οὐγγ. μ', χαλβάνης οὐγγ. κδ', ῥητίνης τερεβινθίνης οὐγγ. μ', ἐλαίου παλαιοῦ οὐγγ. ιη', χυλοῦ τῆς βοτάνης οὐγγ. ξ'· ταῦτα λεῖα ποιήσας ἕψει ἕως ἂν λάβωσι γλοιοῦ πάχος. τοῦτο ὁ προαλειψάμενος οὐ δηχθήσεται ὑπὸ ἰοβόλου. διὰ τοῦ αὐτοῦ χυλοῦ δὲ γίνεται καὶ καταπότιον. πρὸς μέντοι τοὺς δεδηγμένους ὑπό τινος τῶν ἰοβόλων ἑρπετῶν σκευάζεται τροχίσκος τὸν τρόπον τοῦτον· ἀμώμου οὐγγ. δ', ξυλοκινναμώμου οὐγγ. ϛ', σμύρνης οὐγγ. η', καρδάμου σπέρματος οὐγγ. ϛ', μέλιτος πικροῦ οὐγγ. η', τῆς ῥίζης τῆς βοτάνης οὐγγ. η'· ταῦτα <λεῖα> ποιήσας ἀναλάμβανε οἴνῳ τεθαλασσωμένῳ καὶ πλάσας τροχίσκους ἄγοντας ἀνὰ οὐγγ. α'

1 (ἂν om.) χαλάσεις B. σκευάζεται δέ: γίνεται δὲ <καὶ> B. καὶ om. B. 2 κολλούριον B. πτέρυγας (?) E. 3 αἱματίτου <πεπληγμένου> B. 4 δ' : ο' B. πεπληγμένου καὶ κεκαυμένου B. 5 η' : κ' E : θ' B. κεκαυμένης E. 6 κδ' : δ' E. post σμύρνου δραγμὰς δ' [*sic*] add. κόμεως <η' in B. ταῦτα σκεύαζε <ἐν> B. 7 ἐπίχρει μὴ γὰρ ὑσιώπια B. αἱρεῖ (?) E. πελιδνώμενα B. <τὰς> λειχῆνας E. 8 μελαίνας : γενομένας B. καθαιρεῖ (?) E : λευκαίνει B. 9 Ἄρης (?) E. πευκέδανος : π B. 10 δήγματα : δακνώματα B. 11 σκευαζόμενον ἄκοπον E : σκευαζόμενος ἄκοπος Pitra. τὸν τρόπον τοῦτον om. B. ἐλάφου E. 12-13 σαμψύχου ... οὐγγ. μ' om. B. 13-14 χυλοῦ ... οὐγγ. ξ' om. B. 14 <χύλησον> ταῦτα B. ἕψῃ (?) E. ἂν λάβωσι : λάβῃ B. πάχος <καὶ ἀπόθου> B. τοῦτο om. B. 15 ὁ <οὖν> B. προαλειψόμενος (?) E. οὐ <μὴ> δηχθήσεταί <ποτε> B : οὐκ ἀχθήσεται E. 15-16 ὑπὸ ... χυλοῦ δὲ om. B. δὲ χυλοῦ D. 16 γίνεται <δὲ> B. κατάποτα (?) E : καταπότιον <διὰ χυλοῦ> B. μέντοι om. B. 16-17 τινος τῶν ἰοβόλων : τῶν προγεγραμμένων B. 17 ἑρπετῶν <οὕτως> B. 17-18 σκευάζεται ... οὐγγ. ϛ' om. B. 18 ξύλου κινναμώμου E. σμύρνη B. η' : κ' E : δ' B, in quo add. ξυλοκιναμώμου <ϛ'. 19 σπέρμα ABDE; correxi. ϛ' : ιϛ' B. πικροῦ : ἀττικοῦ B. 19-20 οὐγγ. η' ... οὐγγ. η' om. B. 19 η' : κ' E. 20 η' : κ' E. 20-21 ταῦτα ἀναλάμβανε τῷ χυλῷ καὶ λεῖα ποιήσας ἀνάπλασε καταπότια ἄγοντα B. 20 λεῖα ex B addidi. 21 οὐγγ. scripsi : ϛγ. AD : στ. E : < B. α' <ἢ δίδου ἐνιεὶς ἐν κυάθοις τέτρασιν οἴνου μέλανος καὶ ἀνάγκαζε τρέχειν. ἐκ δὲ τῆς ῥίζης σκευάζεται τροχίσκος πρὸς ἰκτερικούς. θεραπεύει δὲ καὶ ὑδροπικοὺς οὕτως. λίθου χελωνίτου κεκαυμένου καὶ πεπληγμένου <η', σιλφίου <ιβ', λίθου αἱματίτου δ', μέλιτος πικροῦ <η', τῆς ῥίζης <ζ' ἢ β', ὡς ἔνιοι. ταῦτα ποιήσας> B.

δίδου τοῖς μὲν ἀπυρέτοις σὺν οἴνου τεθαλασσωμένου κυάθοις γ', τοῖς δὲ πυρέσσουσι σὺν ὕδατι. σκευάζεται δὲ καὶ ἔμπλαστρος πρός τε ταῦτα καὶ διακοπὰς νεύρων καὶ παρακολλήσεις τριημέρων τραυμάτων ἔχουσα οὕτως· κηροῦ οὐγγ. η', σαρκοκόλλης οὐγγ. ιϛ', ῥητίνης ξηρᾶς οὐγγ. μ', λιβάνου ἄρρενος οὐγγ. ιβ', στέατος ταυρείου οὐγγ. κδ', καστορίου οὐγγ. η', τῆς ῥίζης τῆς βοτάνης οὐγγ. π', ἐλαίου κοινοῦ οὐγγ. μ'· τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ.

Ἀφροδίτης βοτάνη πανάκεια.

Αὕτη ἡ βοτάνη λέγεται παρά τινων πλοκαμίς, ὑπ' ἐνίων δὲ καλλίτριχον. ταύτης ὁ χυλὸς πλείστας ἔχει δυνάμεις, οὐκ ἐλάττους δὲ ἡ ῥίζα. τὸν τοίνυν χυλὸν εἰ μετὰ ῥοδίνου ἐλαίου χρίσῃ τὴν ὄψιν τις, ἡδέως θεωρηθήσεται ὑπὸ πάντων τῶν ἀνθρώπων, μάλιστα δὲ ὑπ' ἐκείνων οὓς ἂν εἴποι ἐξ ὀνόματος ὅτε χρίεται. ἐὰν δὲ σὺν μύρῳ τῷ λεγομένῳ νάρδῳ τὴν κόμην ἀλείψῃ τις, τὰς τρίχας λίαν μελαίνας ποιήσει, διαμενούσας εἰς πάντας τοὺς ἑξῆς χρόνους ἀλευκάντους· μᾶλλον μὲν οὖν καὶ καλλίθριξ ἔσται κατά τε πύκνωσιν καὶ αὔξησιν των τριχων. πρὸς δὲ τὸ τὰ τῶν ὀφθαλμῶν λευκώματά τε καὶ ὑγρὰ ποιῆσαι μέλανα, [f. 581v] ὁμοίως δὲ καὶ τοὺς γλαυκοφθάλμους μελανοφθάλμους σκευάζεται οὕτως· ἀκακίας μελαίνης οὐγγ. β', μύσεως οὐγγ. δ', χαλκάνθου οὐγγ. α', χαλκοῦ κεκαυμένου οὐγγ. α', κρόκου οὐγγ. η'· ταῦτα λεῖα ποιήσας βάλε τὸν χυλὸν τῆς βοτάνης ἕως ἂν γένηται μέλιτος πάχος καὶ χρῶ. σκευά-

1 δίδου ... σὺν : καὶ ἀναλάμβανε B. οἴνῳ τεθαλασσωμένῳ (-ομ- B) ABDE; correxi. κυάθους γ' ADE (correxi) : om. B. 1-2 τοῖς δὲ πυρέουσι E : τοὺς δὲ πυρέσοντας B. 2 σὺν : ἐν B. κατασκευάζεται B. τε om. B. 3 ταύτας E. 3-4 νεύρων ... ἔχουσα : καὶ τριήμερον παρακολλᾶ B. τραυμάτων ἔχουσα : ῥευμάτων ἐχούσης E. 4 κηροῦ om. B. σαρκοκόλλου (?) E. ιϛ' : ϛ' E. 5 λιβάνου om. B. ταύρου E. 6 κάστορος E. η' : κ' B. τῆς βοτάνης om. B. π' : η' B. κοινοῖς E : κικίνου B : καινοῦ Pitra. 7 μ' om. B. 8 Ἀφροδίτη (?) E. πανακία B : πανάκειος (?) E. 9 Αὕτη ... ἐνίων δὲ : ὑπὸ δέ τινων πλοκαμὶς λέγεται. ὑπὸ δὲ ἐνίων B. 9-10 καλλιερικόν (?) E : καλλίτριχον <λέγεται δὲ καὶ ἡράκλειον> B. 10 πλείστας : ἱκανὰς καὶ μεγίστας B. ἐλάττονας B. ἡ ῥίζα : καὶ ἡ χρεία B. 11 τὸν ... τις : τῷ γὰρ χυλῷ αὐτῆς μετὰ ῥοδίνου ὃς ἂν χρίσει τὴν ὄψιν <ἐπικαλεσάμενος τὴν θ'φ϶λϛϥ'ψ, τοῦ δοῦναι αὐτῷ χάριν> B. 12 θεωρήσεται (?) E. τῶν om. B. ἀνθρώπων <ἐν ἐκείνῃ τῇ ἡμέρᾳ> B. 13 ἐπ' ὀνόματι εἴποι B. ὅτε χρίεται om. B. 13-17 ἐὰν ... μέλανα : εἰ δέ τις ἀλείψεται τὰς κόμας μετὰ μύρου τοῦ λεγομένου νάρδου μέλεναι λίαν διαμένουσιν αἱ τρίχες αὐτοῦ εἰς πάντα χρόνον. οὐ μὴν ἀλλὰ καὶ πυκνότεραι καὶ αὐξητικώτεραι γίνονται. σκευάζεται δὲ τὰ ὑγρὰ ἢ τὰ λευκώματα ἐπὶ τῶν ὀφθαλμῶν μελαίνουσα B. 13 μύρῳ τῷ λεγομένῳ : μικρῷ E. 14 ποιήσεις A. 15 ἀλευκαύτους (?) E : ἀλευκώτους Pitra. 17 τό : γε E. ποιῆσει μέλαινα (?) E. 18 ὅμοιον E. γλαυκοφθάλμους <ποιοῦσα> B. σκευάζεται om. B. 19 ἀκακία E. μύσεως Pitra; cf. Du Cange, *Gloss.*, s. v. μύσιν : μίσεως ADE : κίστρου B. 20 η' : κ' E : α' B. βάλλε E : ἔμβαλε B. 21 τῷ χυλῷ B. τῆς βοτάνης om. B. ἕως ἂν γ. : ὥστε γενέσθαι B. χρῶ <τοῦτο ἐν τῇ ὑστέρᾳ τὰς διαθέσεις πάσας θεραπεύει. αὕτη μὲν ἡ διὰ τοῦ χυλοῦ χρῆσις> B.

ζεται δὲ δι' αὐτῆς καὶ τροχίσκος, ὃν ἐάν τις προπίῃ, ὑπὸ δηλητηρίου φαρμάκου, καὶ εἰ φθάσει πιών, οὐ βλαβήσεται ὑπ' αὐτοῦ· ἀλλὰ καὶ μετὰ τὸ φαρμακευθῆναι ἐάν τις εὐθέως πίῃ τὸν τροχίσκον, ἀπαλλαγήσεται τῆς τοῦ δηλητηρίου βλάβης. ἔστι δὲ ἡ σκευασία τοῦ τροχίσκου αὕτη· σμύρνης οὐγγ. η', ἀλόης οὐγγ. η', σπέρματος κορίου οὐγγ. ιβ', κρόκου οὐγγ. η', στάχυος οὐγγ. η', ἀνίσου σπέρματος οὐγγ. ιβ', ὀποπάνακος οὐγγ. η'· μέλιτος ἀττικοῦ οὐγγ. κ', τῆς ῥίζης τῆς βοτάνης λεπτοποιηθείσης οὐγγ. η'· ταῦτα λεάνας ἐπιμελῶς ἀναλάμβανε οἴνῳ τεθαλασσωμένῳ καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ οὐγγ. β', καὶ τοῖς μὲν μήπω πεφαρμακευμένοις δίδου σὺν οἴνου κυάθοις β', τοῖς δὲ πεφαρμακευμένοις σὺν οἴνου κυάθοις δ'. σκευάζεται δὲ καὶ ἔμπλαστρος πρὸς τὰ γινόμενα ἐν τῇ κεφαλῇ τραύματα, ὥστε τριχοφυεῖν, αὕτη· καδμίας κεκαυμένης καὶ πεπλυμένης οὐγγ. ιβ', λιθαργύρου οὐγγ. β', μάννης λιβάνου οὐγγ. ιβ', στέατος ταυρείου οὐγγ. β', κηροῦ οὐγγ. ξ', ῥητίνης ὑγρᾶς καὶ ξηρᾶς οὐγγ. ξ', ἰοῦ χαλκοῦ οὐγγ. η', ἐλαίου παλαιοῦ οὐγγ. ο', τῆς ῥίζης κεκομμένης καὶ σεσημένης οὐγγ. ρκ'· τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. γίνεται δὲ κἂν τοῖς προσώποις τῶν γυναικῶν ἐπίχρισμα πρὸς τὸ μὴ ῥυτιδοῦσθαι μηδὲ ξανθώματα ἔχειν, ἀλλὰ λευκὰ καὶ τετανὰ τὰ πρόσωπα διαμένειν, οὕτως· λυκίου ἰνδικοῦ οὐγγ. κ', ἐλλεβόρου λευκοῦ οὐγγ. μ', μελιλώτου ποντικοῦ οὐγγ. μ', τερεβινθίνης οὐγγ. μ', τῆς ῥίζης τῆς βοτάνης κεκομμένης καὶ σεσημένης οὐγγ. ξ'· ταῦτα λεῖα ποιήσας ἕψει ἕως ἂν γένηται γλοιοῦ πάχος, εἶτα χρῶ.

1 δι' om. E. καὶ om. B. 1-4 προπίῃ .. αὕτη : προπιὼν πότιμον δηλιτήριον φάρμακον ἢ εἰληφὼς οὐδὲν κακὸν πάθει. ἐμέ τουτὸ φαρμακευθῆναι ἐάν τις εὐθέως πίει, ἀπαλλαγήσεται B. 2 καὶ alterum om. E. 5 η' prius : κ' E. η' alterum : κ' E ; δ' B. κορίου σπέρμα B. 6 στάχυος οὐγγ. η' om. B. σπέρμα B. 7 τῆς βοτάνης om. B. 7-8 λεπτοποιουμένης B. 8 η' : κ' E. ταῦτα ... τεθαλασσωμένῳ om. E. ἀναλαμβάνου B. 9 οὐγγ. scripsi : ϛγ. AD : σγ. (?) E : < B. β' : α' B. καὶ om. B. 9-10 τοῖς τε μηδέπω φαρμαχθεῖσι β' ἢ α' οἴνου κυάθους διδοὺς B. 10 οἴνου κυάθοις scripsi : οἴνω κυάθοις AD : οἴνῳ, κυάθους E. 10-11 φαρμακευομένοις B. 11 σὺν : δύο ἐν B. οἴνου κυάθοις sic B : οἴνω κυάθοις AD : οἴνῳ κυάθ. E. 12 ἐν τῇ κεφαλῇ γινόμενα B. τριχοφυεῖ Pitra, qui errore αὕτη ad κεφαλῇ retulit. αὕτη om. B ; αὐτη A. 13 πεπλημμένης E : πεπληγμένης B. β' : κ' B. 14 ταύρου E. β' : κ' B. 15 ξηρᾶς καὶ ὑγρᾶς B. ἰοῦ χαλκοῦ : θοῦ B. η' : β' E. 16 κεκαυμένης καὶ σκευασμένης E. ρκ' : ρ' B : κ' E. τὰ ξηρὰ : κίταξε μὲν B. 17 κἂν : καὶ ἐν E : καὶ B. 17-19 τοῖς προσώποις ... οὕτως : ἐπίχρισμα ταῖς γυναιξὶ τοῦ προσώπου. ὥστε ῥυτίδας μὴ εἶναι, λευκὸν δὲ καὶ τετανὸν τὸ πρόσωπον. αἴρη δὲ καὶ ἐξανθήματα πάντα B. 19 post κ' add. τινὲς δὲ μέλι οὐκ ἔχουσι. μέλιτος πικροῦ <κ' in B. 20 ποντικῆς B. 20-21 τερεβινθίνης οὐγγ. μ' om. B. 20 τερεβενθίν(ης) D. 21 τῆς βοτάνης om. B. κεκαυμένης E. ξ' <ὄξους δριμυτάτου ξέστου ἑνός> B. 22 ἕψε BE. ἂν om. B.

Ἑρμοῦ βοτάνη φλόμος.

Αὕτη ἡ βοτάνη λέγεται καὶ Ἑρμοῦ ῥάβδος ἀγαθή. σκευάζεται δὲ διὰ τοῦ χυλοῦ αὐτῆς ἄκοπον, ὅπερ ἐάν τις ἀλείψηται, εἰς ὁδοιπορίαν πορευόμενος ἢ ἄλλην ἐργασίαν κοπηρὰν μετερχόμενος οὐ κοπωθήσεται. ποιεῖ δὲ τοῖς τε δρομεῦσι καὶ τοῖς ἀγωνιζομένοις εὐκίνητα καὶ ἰσχυρὰ τὰ μέλη [f. 582] τοῦ σώματος. ἐὰν δὲ καὶ κεκοπωμένα ἀλείψῃ τις, παύονται τοῦ κόπου. ἔστι δὲ ἡ σκευασία αὕτη· σαμψύχου οὐγγ. ιβ', μυελοῦ ἐλάφου οὐγγ. μ', τερεβινθίνης οὐγγ. μ', ἐλαίου παλαιοῦ οὐγγ. ξ', τοῦ χυλοῦ τῆς βοτάνης ξέστην α', χαλβάνης οὐγγ. η', κηροῦ οὐγγ. ξ'· ἕψει ἕως οὗ γένηται γλοιοῦ πάχος καὶ χρῶ. τούτου τοῦ χυλοῦ ἐὰν νῆστις ῥοφήσῃ τις, τὸν θεὸν ἐπικαλεσάμενος δι' εὐχῆς τὸν δόντα τῷ τοῦ Ἑρμοῦ ἀστέρι, πρὸς ὃν οἰκειοῦται ἡ τοιαύτη βοτάνη, δύναμιν τοιαύτην, ἑτοιμότατος ἐν τῷ λαλεῖν καὶ ἐπιστημονικώτατος ἔσται. σκευάζεται δὲ καὶ διὰ τῆς ῥίζης ἔμπλαστρος ἥτις βέλη καὶ σκόλοπας ἐξάγει καὶ τὰ τεθλασμένα τῶν ὀστῶν καὶ διεσπασμένα συνάπτει. καί ἐστιν ἡ σκευασία αὕτη· κηροῦ οὐγγ. π', τερεβινθίνης οὐγγ. μ', χαλβάνης οὐγγ. κ', ἐλαίου ὀμφακίνου οὐγγ. μ', τῆς ῥίζης κεκομμένης καὶ σεσημένης οὐγγ. π'· τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ.

Ἕτεραι ζ' βοτάναι ἀνακείμεναι τοῖς αὐτοῖς πλανωμένοις.
Ἡλίου βοτάνη πολύγονον.

Αὕτη ἡ βοτάνη τοιαύτης ἔτυχε προσηγορίας ἔκ τινος πρὸς τὸν Ἥλιον ὁμοιότητος· καὶ γὰρ ὁ Ἥλιος πάντων ἀρχηγέτης ἐστὶ καὶ σπερματικός· καὶ ἡ βοτάνη δὲ αὕτη πρὸς γονάς ἐστιν ἐπιτηδεία. τινὲς δὲ χαμαιλέοντα καλοῦσιν αὐτὴν ἐκ τοῦ τὰ μέρη τοῦ οὐρανοῦ καὶ τῆς γῆς λελαχέναι. πινόμενος οὖν ὁ χυλὸς αὐτῆς πρὸς γονὰς διεγείρει καὶ ἀφροδίσια· περιαφθεῖσα δὲ ἡ βοτάνη σὺν τῇ εἰς θεὸν εὐχῇ, τὸν δόντα τῷ τε Ἡλίῳ καὶ τῇ βοτάνῃ τοιαύτην δύναμιν ἔχειν, πᾶσαν ὀφθαλμίαν ἀποτρέπει· ὁ

1 Ἑρμῆς (?) E. 2 Αὕτη ἡ βοτάνη : ἡ αὐτὴ B. 3 ἀκόπου E. ὅπερ (cf. supra p. 156, 14; 157, 11) : ὡς B. ἀλείψεται B : ἀλείφῃ E. 4 ἄλλην ... μετερχόμενος : ἐπὶ ἄλλων ἔργων B. 5 δὲ <καὶ> B. τε om. B. καὶ <πᾶσι> τοῖς B. 6 κοπώμενα E : κοπώμενος B. ἀλείψεταί B. 7 πέπαυται B. ἔστι ... αὕτη om. B. 8 ἐλαφείου B. μ' prius : κ' E. <ῥητίνης> τερεβινθήνης B : τερεβενθίν(ης) D. μ' alterum ; η' E. 9 τῆς βοτάνης om. B. χαλβάνη B. 10 ἕψε BE. οὗ γένηται : γένηται E : ἂν γένοιτο B. χυλὸς B. 11-13 τὸν θεὸν ... τοιαύτην : <καὶ> τὸν αελ`ν ἐπικαλέσηται τὸν ἐ☉ξβ`ν B. 13 ἑτοιμοτάτην E : ἑτοιμότατος <γίνεται> B. ἐπιστημονικωτάτην E : πιστικώτατος B. 13-14 ἔσται ... δὲ καὶ om. B. 14 διὰ <δὲ> B. ἔμπλαστρος <σκευάζεται> B. 15 ἐξάγει om. B. τεθλασμένα : δυσκόμιστα B. ὀστέων B. καὶ διεσπασμένα om. B. συνάπτει : ἐπισπᾶται B. 15-16 καὶ ... αὕτη : γίνεται δὲ τὸν τρόπον τοῦτον B. 16 <ῥητίνης> τερεβινθήνης B : τερεβενθίν(ης) D. 17 κεκαυμένης E. 18 χρῶ. <Τέλος τῶν ζ' ἀστέρων καὶ τῶν βοτανῶν> E. 19-p. 163, 2 om. B. 19 βοτάναι ζ' D. 20 Ἥλιος (?) E. πολύγονον : πολυγενής (?) E. 27 τοιαύτην : ταύτ(ῃ), τὴν D.

γὰρ φορῶν αὐτὴν οὐδέποτε ὀφθαλμιάσει, ἐπειδὴ τῶν φώτων ὁ Ἥλιος τὴν ὑπεροχὴν ἔλαχε. διόπερ ἐὰν ἀφαιρετικὸς ὑπάρχῃ ὁ Ἥλιος ἐπὶ τῆς γενέσεως, φρενιτικοὺς καὶ ληθαργικοὺς καθίστησι διὰ τὸ ἐκ τῆς καρδίας ταῦτα τὰ πάθη αὔξεσθαι. ἰᾶται δὲ καὶ τοὺς ἀμβλυωποῦντας θαυμαστῶς περιαπτομένη καὶ τοὺς ἐν καταρχαῖς πειραζομένους ταῖς ὑποχύσεσιν.

Σελήνης βοτάνη κυνοβάτη.

Αὕτη ἡ βοτάνη τὰ ἐπὶ τοῦ θώρακος καὶ στομάχου καὶ τῶν πλευρῶν δριμέα πάθη [f. 582v] ἀποκαθαίρει, ἐπεὶ ἡ Σελήνη ἔλαχεν ἐν τῷ Καρκίνῳ, οὗτος δὲ τοῦ θώρακος καὶ τῶν πλευρῶν κυριεύει. συνεχῶς δὲ τὸ τῆς βοτάνης ἄνθος πινόμενον καθαίρει τοὺς ὀγκωμένους σπλῆνας, κενοῦν τὸ τοῦ ὄγκου αἴτιον διά τε τοῦ οὔρου καὶ τῆς κοιλίας· ἐνεργεῖν δὲ δοκεῖ κατὰ τὸν σπλῆνα, ἐπείπερ ἡ Σελήνη τὸν τοῦ σπληνὸς ἐπέχει τόπον. εὔθετος δὲ καὶ πρὸς ὀξυδορκίαν ἡ ῥίζα τῆς βοτάνης ἐστὶ περιαπτομένη, τοῖς δὲ ἀμβλυωποῦσιν ἀκριβῶς βοηθεῖ καὶ ἐπιτετευγμένως, ἐπεὶ τὰ φῶτα τῶν ὀφθαλμῶν ἡ Σελήνη μετὰ τὸν Ἥλιον ἔλαχεν. εὐθετεῖ δὲ καὶ πρὸς τοὺς τὸν στόμαχον κεκακωμένον ἔχοντας. ἔτι τε ἁρμόζει καὶ πρὸς κωλικοὺς καὶ στρεφομένους.

Κρόνου βοτάνη ἀσφόδελος.

Ταύτης τῆς ῥίζης ὁ χυλὸς ἄριστα τοῖς τὰ γόνατα πάσχουσιν ἁρμόζει καθ' ἑαυτόν τε καὶ μετὰ στύρακος χριόμενος· καὶ γὰρ κόπους καὶ ἰᾶται. δίδοται δὲ ὁ χυλὸς τῆς ῥίζης ἑψηθεὶς ὀλίγον τοῖς τοὺς πόνους νεφροὺς ἀλγοῦσιν· ἀποκαθαίρει γὰρ καὶ ὑγιάζει. καὶ τοὺς δαιμονιζομένους καὶ καταπίπτοντας ἰᾶται. περιαπτομένη δὲ παιδίοις ὀδοντοφυοῦσιν εὐθετεῖ καὶ πρὸς νυκτερινοὺς παλμοὺς καὶ φόβους καλῶς ποιεῖ.

Διὸς βοτάνη σαγχαρώνιον.

Ταύτης ἡ ῥίζα περιαφθεῖσα εὐθετεῖ πρὸς βουβῶνας· ἀφλέγμαντον γὰρ τὸν τόπον τηρεῖ· εἰ δέ τις πρὸ τοῦ παθεῖν περιάψηται, οὐδέποτε

1 αὐτὴν om. E. 2 ὑπεροχὴν scripsi : ὑ$^{\pi\chi}$ AD : ὑπαρχίαν E : ἐπαρχίαν Pitra. 3 λιθαργυρικοὺς E. 6 ἀποχύσεσι *Catal.*, VII, p. 233, 14 (sic etiam cod. Venet. 335, f. 324v). 7 κυνοβάτη sic D (in marg. manu post. ἡ κάππαρις ἐστίν) : κυνοβα$^{\tau'}$ A : κυνόβατος (?) E : κυνόσβατος *Catal.*, VII, p. 235, 23 (sic Venet. 335, f. 325v; codd. Paris. astr. 4, f. 266v; 38, f. 86); IV, p. 136, 8; VI, p. 84, 17 : *cynosbatos*, Apuleii ***De medicaminibus herbarum***, cap. LXXXVII. 9 λέλαχεν D. 20 Ταύτης τῆς ῥίζης ὁ χυλός : ταύτης ὁ χυλὸς καὶ ἡ ῥίζα *Catal.*, VII, p. 234, 20 : ταύτης ὁ χυλὸς *Catal.*, IV, p. 136, 4; VI, p. 84, 13. 24 καταπίπτοντας : καταβιβάζοντας *Catal.*, VII, p. 234, 24. 26 σαγχαρώνιον scripsi : σαγχαρω$^{\psi'}$ D : σαγχαρω$^{\nu}$ A : σαγχωρώνιον codd. Paris. astr. 4, f. 266; 38, f. 86 : σαχαρώνη E : σακχαράνιον *Catal.*, VII, p. 235, 6 (sic et Venet. 335, f. 325v) : ἀλχαράνιος IV, p. 135, 21; VI, p. 84, 9. 28 περιάψεται D.

βουβῶνος πειραθήσεται. εὐθετεῖ δ' ὁμοίως καὶ ποδαλγικοῖς κοπτομένη καὶ καταπλασσομένη, τάς τε φλεγμονὰς καὶ τὰς ἐπιτάσεις ἀναστέλλει· συμπάσχει γὰρ μάλιστα τοῖς μέρεσι τούτοις, καθότι ὁ ἀστὴρ οἶκον ἔχει τὸν Τοξότην καὶ τοὺς Ἰχθύας, ταῦτα δὲ τὰ ζῴδια κεκλήρωται μηρῶν, χειρῶν καὶ ποδῶν κυριεύειν· οἰκείως οὖν τοῖς τόποις τούτοις ἡ τοιαύτη ἁρμόζει βοτάνη. ὁ δὲ χυλὸς αὐτῆς πινόμενος μετὰ μελικράτου τοῖς τὸ ἧπαρ ἀλγοῦσιν ὠφέλιμος γίνεται διὰ συμπάθειαν, ἐπειδήπερ ὁ Ζεὺς τὸν τοῦ ἥπατος τόπον ἐπέχει (ὅθεν καὶ ὁ μῦθος ἐρωτικῶς πέπλασται, ἐπεὶ ἀπὸ πυλῶν ἥπατος τὸ σπέρμα λέγεται διὰ φλεβὸς εἰς τοὺς γονίμους ἐρχόμενον τόπους) καὶ διὰ τοῦτο κακωθεὶς ὁ ἀστὴρ ἐπὶ τῶν γενέσεων ἡπατικοὺς ποιεῖ. ταύτης ὁ χυλὸς μετὰ μέλιτος καὶ κρόκου πινόμενος τοῖς συνουσιάζειν βουλομένοις ἁρμόζει. καὶ περιαπτομένη δὲ ἡ βοτάνη τοῖς βουλομένοις ἀρέσκειν ταῖς ἰδίαις γυναιξὶ [f. 583] χρήσιμός ἐστιν· ἐπιχαρεῖς γὰρ τούτους καθίστησι, μοιχὸς δὲ περικειμένης ταύτης οὔποτε ἐμπεσεῖται.

Ἄρεως βοτάνη ἀρνόγλωσσον.

Hoc calendarium lunare cum capitulis 17-20 Lydi *De ostentis*, quae Capitoni Curtius Wachsmuth addixit, artissime cohaeret. Cum hoc « lunarium antiquum » uno[1] codice Caseolino servetur atque folia in quibus exscriptum erat miserrime sint lacera, excerptum quod editurus sum ad lacunas codicis Caseolini explendas magni est momenti. Nam, ut cetera omittam, hoc excerpto fretus illa Lydi loca sic refecerim : Lyd., ed. Wachsmuth², p. 48, 9, εἰ [δὲ τὰς κεραίας συνάγει, εὐκτηρί]ας τεκμήριον coll. excerpti p. 181, 3; p. 49, 6 pro ἀνάγκη τὰ κοινὰ περ[ιστήσετ]αι, coll. p. 182, 17, ἀνάγκη τὰ κοινὰ περ[ιπεσεῖτ]αι legendum; p. 54, 9, coll. p. 187, 23, διχ]ομ[ηνίαν. Praeterea quae in codice Caseolino librarii errore sunt omissa, ea nonnunquam nobis suppeditat hic codex: exempli gratia ex huius excerpti p. 182, 7 supple apud Lydum, p. 48, 23 Σελήνη, <ἐλάττωσιν Ῥωμαίοις ἀπειλεῖ...>. Denique Curtii Wachsmuth coniecturam, qui ἡμέρας pro ὥρας p. 51, 19 scripserat, idem codex egregie comprobat. — Noli tamen existimare, quamvis multa consentiant, utroque codice unum et eundem textum praeberi. Etenim, ut de plurimis praesagiis hic praetermissis nihil dicam, plenior nonnunquam Lydi lunario hic textus est, ita ut utrumque lunarium ex ampliore opusculo contractum esse appareat. Praesagiorum enim, quae Lydus consulto praetermisisse videtur (v. ed. Wachsmuth², p. XXXIV sqq.; ed. Hase, p. XVIII), quaedam, quae praesertim ad sacra attinebant (v. infra p. 185, 18; 183, 9; 185, 27; 187, 8), hic servantur. Itaque ad fontem Lydi cognoscendum, ceteris opusculis quae magna vel aliqua ex parte ex eodem auctore emanant[1] adiunctis, hoc excerptum operam dabit egregiam. Ne tamen huic excerpto nimis credideris. Quaedam enim praesagia, quae prima specie nova videntur, a capitulo subsequenti traiecta sunt.

1 ψυχρότης πολλή : καρποὶ πολλοὶ B. 2 πλαγίου, βροχαὶ πολαὶ B. 3 ἐὰν : ἐν A. καλὴ ἔνι αὐτή : καλόν ἐστιν B. πλαγίου B. 4 ἐστιν : γεννήσεται B. 5 βροχὴ πολλή : ἔστω βροχαὶ B. 7 καλὴ ἔνι αὐτή : ὁ χρόνος καλὸς B. ὁ om. B. 8 οἴνου λεῖψις : πλῆθος ἐθνῶν B. 9 ὀρθὴ <φανῆ> B. εὐθηνία πολλή : σίτου πολὺς B. 10 πλήθη ἐθνῶν : λύψις B.

[1] Lunarii tamen fragmenta in codice Paris. 45, f. 74, de quo vide supra p. 51, (= Lyd., p. 54, 6-21) et in codice Venet. App. cl. V. 13, f. 152ᵛ marg. infer., de quo vide supra p. 132 (= Lyd., p. 54, 6-15), inveni.

[F. 441.] Σεληνοδρόμιον, σεισμολόγιον, βροντολόγιον.

Μὴν Ἰανουάριος. Εἰ ἐν τῇ διχομηνίᾳ ἡ Σελήνη ἀμυδρὰ φανῇ, εὐθηνία ἔσται· εἰ δὲ τὰς κεραίας συνάγει, εὐκτηρίας ἐστὶ τεκμήριον· εἰ δὲ ἐν τῇ δευτέρᾳ φυλακῇ [f. 441ᵛ] ἀμαυρωθῇ, ἐφόδους πολεμίων ἀπειλεῖ. ἐὰν ἐκ τῆς γῆς ἦχος γένηται, φθορὰν ταῖς πόλεσιν ἀπειλεῖ <καὶ> ἐπανέφοδον πολεμίων· ἐὰν ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, ἄνθρωπος διὰ τριῶν θανεῖται. ἐὰν σεισμὸς γένηται, πτῶσιν καὶ φθορὰν μεγάλων ἀνθρώπων ἀπειλεῖ τοῖς περὶ αὐτούς· ὁ δὲ σῖτος αὐξυνθήσεται, ποιμνίων δὲ καταφθορὰ γενήσεται. ἐὰν ὁμίχλη πέσῃ, χαλαζωθήσεται ὁ σῖτος. ἐὰν ἄνεμοι βιαιότεροι πνεύσωσιν, ὅλον τὸν μῆνα ἐφόδους πολεμίων φράζουσι τῇ χώρᾳ ἐκείνῃ. εἰ δὲ σχισμός, ἀπώλειαν τῇ χώρᾳ σημαίνει. εἰ δὲ καὶ βροντή, σίτου φθορὰ ἔσται καὶ ἀνθρώπων ἔκλειψις, πλουσίων δὲ εὐημερία. εἰ δὲ σεισμὸς γένηται, φθόνον καὶ φόβον δηλοῖ. εἰ δὲ χώρα ἔξομβρος ἔσται, νόσους ταύτῃ σημαίνει. εἰ δὲ σεισμὸς γένηται Ἡλίου δύνοντος ἢ νυκτός, πόλεμον σημαίνει τοῖς ἀνθρώποις.

Μηνὶ Φεβρουαρίῳ. Ὑδροχόος. Εἰ κατὰ τὴν πρώτην <ἢ> δευτέραν φυλακὴν ἡ Σελήνη ἀμυδρὰ φαίνεται, πόλεμον ἔσεσθαι σημαίνει· εἰ δὲ τῇ ἑωθινῇ τὸ αὐτὸ σημεῖον γένηται, εἰρήνην σημαίνει, σίτου δὲ πολὺ καὶ τῶν ἐπιτηδείων. ἐὰν σεισμὸς γένηται, λοιμικὴν νόσον δηλοῖ ταῖς πόλεσι καὶ οἱασδήποτε χώρας, ἀνάπαυ[f. 442]σιν ἀπὸ τοῦ λοιμοῦ καὶ φθορὰν ἀνθρώπων μεγάλων καὶ ἕτερος τῷ ἑτέρῳ φθονήσει. ἐὰν ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, νόσους σημαίνει, παντὸς δὲ καρποῦ <καὶ> σίτου δαψί-

1 σεληνοδρώμην. σισμωλόγην βροντολό(γ) cod. 2 δεχομηνία cod. ἀνμηδρὰ cod. 4 ἀπειλεῖ : ἀλεῖ cod. 5 καὶ inserui. 6 ἐπαέφόδον cod. 8 τοῖς scripsi : τοὺς cod. αὐξηνθήσεται cod. 9 κατὰφθορὰν cod. 11 σχισμός scripsi : λημός cod. 12 ἔκλειψις scripsi : ἔκλησις cod. 14 ἐξόβρος cod. 17 φευρουαρίω cod. ἢ inserui coll. Melamp., *Catal.*, IV, p. 113, 1. 17-18 δευτέρας φυλακῆς cod. 18 ἡ Σελήνη ἀμυδρὰ φαίνεται coll. Lyd., p. 48, 15 scripsi : ἱ σέμιδρα φένεται cod. ἔσεσθαι σημαίνει coni. Boll : ἀσθησομένη cod. 19 εἰρήνη cod. 19-20 in Lydo, p. 48, 17 contra legitur μετ[ὰ ἐλλεί]ψεως τῶν ἐπι[τηδ]είων. 20 λοιμικὴν coll. Melamp., *Catal.*, IV, p. 113, 3 scripsi : λημὸν cod. ταῖς : τε cod. 21 λιμοῦ cod. φθορὰ cod. 23 καὶ addidi.

[1] In primis lunarium Melampodi suppositum (*Catal.*, IV, p. 110), brontologia quae supra p. 123 et 168 leguntur, tonitruale *Catal.*, IV, p. 128 editum, etc. — Cf. quae nuper Bezold et Boll, *Reflexe astrologischer Keilinschriften bei griechischen Schriftstellern* (*Sitzungsberichte der Heidelberger Akademie*, II, 1911, VII), p. 5-7 de eadem re disseruerunt.

λειαν. ἐὰν [τὸν] ὅλον τὸν μῆνα ἐπιτείνουσι πνεύματα, ὑετοὺς ἕξει καὶ λίπας σημαίνει, τὰ γενόμενα δὲ οὐκ αὐξηθήσονται. ἐὰν δὲ ἡ Σελήνη εἰς τὸ αὐτὸ τὰς κεραίας κατάγει, σῖτος ἔσται πολύς. εἰ ἀστὴρ εἰς τὸν οὐρανὸν διατρέχων αὐλακίζει, πολὺν παραθαλασσίοις κίνδυνον σημαίνει. **, φθορὰν τῇ πόλει ἐκείνῃ σημαίνει. ἐὰν Ἕσπερος ἐν τῇ Σελήνῃ εἰσέλθῃ, ἴδιοι δυνατοῖς ἐπιβουλεύσουσι. εἰ δὲ δόξῃ ἐκλιπεῖν ἡ Σελήνη, ἐλάττωσιν Ῥωμαίοις ἀπειλεῖ. εἰ βροντήσῃ, φθορὰν καρπῶν σημαίνει, νόσον τε καὶ ἀκαταστασίαν. εἰ δὲ Ἥλιος [δὲ] <ἐκλείψῃ>, παντοίων καρπῶν φθορὰν δηλοῖ. εἰ δὲ ἡ <Σελήνη> ** <τῇ> χώρᾳ ἐκείνῃ ἐπανάστασις ἐχθρῶν.

Μηνὶ Μαρτίῳ. Ἰχθύες. Εἰ κατὰ τὴν πρώτην φυλακὴν ἡ Σελήνη εἰς τὸ αὐτὸ συνάγῃ τὰς κεραίας, ἀγαθὸν σημαίνει, εἰρήνη ἔσται. **, ἀπορίαν σημαίνει. ἐὰν σεισμὸς γένηται, μεγάλοι ἄνθρωποι <ἀποθανοῦνται> καὶ πολέμων κίνησις καὶ ἡ ἀνατολὴ θορυβηθήσεται ἐκ τῶν δυσμῶν. ἐὰν κεραυνὸς πέσῃ, εὐκολία τοῖς καρποῖς καὶ τὰ φαῦλα ἀναληφθήσεται. ἐὰν ὁμίχλη πέσῃ, καλὸν τοῖς καρποῖς. ἐὰν πνεύματα πνεύσῃ, ὑετὸν σημαίνει. [f. 442v] ἐὰν ἄστρον ἐν ἡμέρᾳ φανῇ, ἀνάγκαις τὰ κοινὰ περιπέσηται. ἐάν τις θύων πρόβατον χολὴν μὴ εὕρῃ, ἐπανάστασιν σημαίνει τῇ χώρᾳ ἐκείνῃ. εἰ βροντήσῃ, ἀπώλειαν σημαίνει. εἰ δὲ Σελήνη [ἡ] ταραχώδης γενήσεται, δυνάστης ἀνὴρ μεταλλάξει τὸν βίον· εἰ δὲ ἐν τῇ νεομηνίᾳ [α′] ἡ Σελήνη ταραχώδης γένηται, ἐπανάστασιν ἐχθρῶν δηλοῖ· εἰ δὲ αἱματώδης ἡ Σελήνη γένηται, σῖτος ἔσται πολύς. εἰ δὲ ἐν νυκτὶ <ἀστὴρ> πέσῃ, ὁ βασιλεύς τινας τῶν περὶ αὐτὸν διαφθείρει. εἰ δὲ σεισμὸς γένηται, ἡ αὐτὴ ἀνατολὴ θορυβηθήσεται ἐκ τῶν δυσμῶν. εἰ δὲ ἐν ἡμέρᾳ <ἀστέρες> φανῶσιν, ἐπανάστασιν σημαίνει· ἔσονται καὶ σφαγαί. εἰ δὲ πνεύματα ἐξαίσια πνεύσωσι, κτηνῶν φθορὰν σημαίνει. εἰ δὲ σεισμὸς γένηται, πολέμους καὶ ταραχὰς σημαίνει καὶ ἐπανάστασιν ἔθνους.

Ἀπρίλλιος. Κριός. Εἰ τῇ διχομηνίᾳ ἡ Σελήνη ταραχώδης γένηται,

1 τὸν uncinis inclusi. 3 τὸν αὐτὸν cod. κεραίας scripsi : ἡμέρας cod. 4 παραθαλασσίοις scripsi coll. Lyd., p. 48, 25 τοῖς παραλίοις : παράθαλασίας cod. 5 lacunam significavi. εσπέρας cod. 6 ἴδιοι δυνατοῖς ἐπιβουλεύσουσι dubitanter scripsi coll. Lyd., p. 48, 22 : οἰδήσις δηνατῆς ἐπὶβουλεύσησοι cod. δόξει ἐκκλείπων cod. 7 ἐλάττωσις cod. καμπῶν cod. 8 καταστασία cod. δὲ uncinis inclusi. ἐκλείψῃ inserui coll. Melamp., *Catal.*, IV, p. 113, 8. 9 φθορὰ cod. εἰ : ἡ cod. Σελήνη inserui et lacunam significavi. τῇ inserui. 12 lacunam significavi; an scribendum est, coll. Lyd., p. 49, 4, <εἰ δὲ σεισμὸς γένηται>? 13 ἀποθανοῦνται addidi. 16 νομίχλη cod. 17 περὶπέσειται cod. 18 χολήν; cf. Bezold et Boll, *l. c.*, p. 6, n. 3. ἐπανάστασις cod. 19 βροντήσῃ scripsi : βροντῆ cod. ἀπόλεια cod. ἡ uncinis inclusi. 21 α′, scilicet πρώτη (ἡμέρα), uncinis inclusi. ταραχώδης scripsi : ταραχῆ cod. ἐπανάστασις cod. 22 ἐν νυκτὶ pro ἐνυκτῶδες [*sic*] scripsi et ἀστὴρ addidi coll. supra p. 123, 14. 23 πέσει cod. l. 23-25 iteratur quod antea (l. 13 sqq.) de eadem re legisti. 24 ἡ : εἰ cod. δεσμῶν cod. ἡμέρᾳ scripsi : ημέρες cod. 25 ἀστέρες inserui. ἐπανάστασις cod. 26 φθορα cod. 27 πόλεμοι cod. ταραχαὶ cod. ἐπανάστασις cod.

ταραχὴ ἔσται ταῖς πόλεσι καὶ ἐπανάστασις πολεμίων· εἰ δὲ τῇ δευτέρᾳ φυλακῇ αἱματώδης φανῇ, σῖτος ἔσται πολύς. εἰ σχισμὸς τῆς Σελήνης ὑπάρχει, **. ἐὰν τῇ νυκτὶ ἀστὴρ πέσῃ, βασιλέως καὶ λαοῦ ἀπώλεια. ἐὰν ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, οἱ ἀπὸ δυσμῶν τῆς Εὐρώπης τοὺς ἀπὸ ἀνατολῆς ἄνω τῆς Ἀσίας πολεμήσουσιν. ἐὰν δὲ ἡ ἀριστερὰ τῆς Σελήνης κεραία <δόξῃ ὑπερβάλλειν τὴν ἄλλην>, αὐχμὸς ἔσται [f. 443] καὶ σπάνις σίτου· ταραχήν τε καὶ θόρυβον δηλοῖ. ἐὰν ἡμέρᾳ Σελήνη φανῇ, φθόνος ἔσται πολύς. εἰ δὲ βροντήσῃ, παντὸς τόπου ὑψηλοῦ φθορὰν σημαίνει, τῶν δὲ καρπῶν ἐκτὸς ἐλαίας εὐφορίαν δηλοῖ. εἰ δέ τις θυσιάζων χολὴν ἐν τῷ θύματι μὴ εὕρῃ, ἐπανάστασιν δηλοῖ.

Μάϊος. Ταῦρος. Εἰ ὁ Ἥλιος ἐκλείπει, οἱαδήποτε χώρα ἐρημωθήσεται. εἰ δὲ Σελήνη ἐκλείψῃ τῇ δευτέρᾳ φυλακῇ, φθορὰν σημαίνει. εἰ δὲ τὰς κεραίας ἐξ ἴσου ἀνίσχουσα ἔχει, θόρυβον τῇ βασιλείᾳ ἀπειλεῖ. εἰ δὲ ἄστρον πέσῃ, ἀνθρώποις ἀγαθὸν σημαίνει. εἰ δὲ ἐπὶ οἰκίᾳ ἐπιπέσῃ, <τὸ αὐτὸ> σημεῖον σημαίνει· ἐξελθὼν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ τῆς οἰκίας καὶ πάλιν μεθ' ἡμέραν εἰσελθεῖν, ἀνθρώπων ἔσονται θόρυβοι. εἰ δὲ σεισμὸς γένηται ἀπὸ α′ ἕως ιβ′ Μαΐου, ἀφαίρεσιν τῆς ἀρχῆς ἀπειλεῖ· εἰ δὲ ἀπὸ ιβ′ γένηται, οὐ μόνον [οὐκ] ἀποκινεῖται <ὁ> ἐπιτροπεύων τοῦ ἔθνους, ἀλλὰ καὶ ἀπόλλυται· καθολικῶς ἀπὸ τῆς ιβ′ ἕως λ′ τοῦ μηνὸς τούτου εἰ [δὲ] σεισμὸς γένηται, θόρυβον καὶ πολέμους καὶ λιμὸν ἀπειλεῖ. εἰ δὲ ἀπὸ α′ [φυλακῆς] ἡμέρας ἕως ϛ′ ὁ σεισμὸς γένηται, πολέμων ἐθνικῶν κίνησις ἔσται, ὁ δὲ ἡγούμενος τοῦ κινήματος ἀναιρεθήσεται. εἰ δὲ βροντήσῃ, ἀκαταστασίαν δηλοῖ ἀνθρώπων. εἰ συμβῇ τὸν Ἥλιον ἐκλεῖψαι, ἀλλοίωσις ἐπὶ τοῖς πράγμασι μένει καὶ ἀκρίδες τὴν εὐφορίαν δαπανήσωσιν. εἰ δὲ ἡ Σελήνη [f. 443v] ταραχώδης γένηται, πολέμους σημαίνει. εἰ δὲ ὁμίχλη πέσῃ, φθορὰν πολλὴν τῶν ἀνθρώπων σημαίνει καὶ ἀνθρώπων δυναστῶν ἀναίρεσιν σημαίνει. εἰ δὲ σεισμὸς γένηται, ὕδατα σπανίσουσιν. εἰ δὲ πρὸ ιβ′ <καλανδῶν> Ἰουνίου γένηται σεισμός, ἀγαθὰ μετ' εἰρήνης δηλοῖ.

1 πολεμίων scripsi : πολέμων cod. 2 ἀματώδης cod. εἰ σχισμὸς scripsit Cumont : εἰσχιμόν cod. 3 lacunam significavi. βασιλεὺς cod. 4 οἱ : ε̄ι cod. λ′ τοὺς corrigere nolui. 5 πομισήσουσιν cod. ἡ ἀριστέρα : ἀστὴρ cod. 6 κεραία : μεραία cod. δόξῃ ... ἄλλην ex Lyd., p. 49, 19 supplevi. ἀχμὸς cod. 7 φθόνος : φθόρος? Boll. 8 βροντῆ cod. φθορὰ cod. 9 τῶν δὲ καρπῶν ἐκτὸς ἐλαίας scripsi : ἐκτὸς ἐλαίας. τῶν δὲ παράμων cod. ἐνφορία cod. εἰ scripsi : ὁ cod. 10 εὗρει cod. 12 ἐκλείψῃ : τα[ραχώδης φανῇ] Lyd., p. 49, 24. 13 ἡ βασιλεία cod. 14 ἀνθρώπων cod. ἐπιεικῖα cod. 15 τὸ αὐτὸ addidi. ἐξελθὸν cod. 16 εἰσελθεῖν cod. 17 Μαΐου : μαγίω cod. 18 οὐκ uncinis inclusi. ὁ ex Lyd., p. 50, 5 supplevi. τοῦ : τοὺς cod. 19 ἀπὸ τῆς : διὰ το cod. ιβ′ : δεκάτης Lyd., p. 50, 6. 20 δὲ uncinis inclusi. θόρυβος cod. 21 φυλακῆς uncinis inclusi. De hoc loco vide quae Wachsmuth exposuit, Lyd., p. 50, 8 in adnot. crit. 23 ἀκαταστασίαι cod. συμβῇ scripsi : σηβῆ cod 24 ἀλλοίωσις dubitanter scripsi : ἀλω σ′ (ἀλώσεις?) cod. τοῖς scripsi : τῷ cod. 27 ἀνέρεσις cod. 28 καλανδῶν coll. supra p. 124, 11-12 addidi. 29 μετ' εἰρήνης scripsi coll. supra p. 124, 12 : μερήνης cod.

Μὴν Ἰούνιος. Δίδυμος· εἰ ἐν Διδύμοις ὁ Ἥλιος ἐκλείψῃ, μεταβολαὶ ἔσονται καὶ ἕτεροι ἐπὶ τὰ πράγματα στήσονται. εἰ δὲ ἡ Σελήνη τῇ πρώτῃ φυλακῇ ἐκλείψῃ, λιμὸς ἔσται καὶ ἀκρίδες τὸν σῖτον φάγωσιν· ἐκ δὲ τούτων <τῶν> ἀκρίδων λιμῷ καὶ φθορᾷ ἄνθρωποι φθαρήσονται. εἰ δὲ τῇ δευτέρᾳ φυλακῇ ἡ Σελήνη ταραχώδης γένηται, ὁδοὶ ἀποκλεισθήσονται· εἰ δὲ <ὁ> τῆς <Ἀφροδίτης ἀστὴρ> ταραχώδης γένηται, φθορὰν ἀνθρώπων σημαίνει. εἰ δὲ <ἀστὴρ> ἐν ἡμέρᾳ φανῇ, κακὰ τῇ πόλει σημαίνει. εἰ δὲ πρηστὴρ πέσῃ, θόρυβος ἔσται πόλεσι ταῖς πρὸς ἀνατολήν. εἰ ὁμίχλη πυκνωθεῖσα εἰς γῆν πέσῃ, σῖτος ἔσται πολύς. εἰ δὲ σεισμὸς γένηται, λοιμὸς ἀνθρώπων ἔσται μεγίστων· μέγιστα γὰρ δηλοῖ κακὰ καὶ συνοχῆς ἐπιφοραὶ καὶ χάσματα τοπικὰ ἔσται. καὶ ἂν ἀπὸ νεομηνίας ἕως θ' τοῦ μηνὸς Ἰουνίου σεισμὸς γένηται, φθορὰν ἀνθρώπων ἀπαγγέλλει· εἰ δὲ ἀπὸ θ' ἕως ις' σεισμὸς γένηται, ὁ κρατῶν τῶν πραγμάτων κάκιστα διαγενήσεται καὶ λοιμὸς γένηται τοῖς κτήνεσι καὶ ὕδατος λεῖψις· εἰ δὲ ἀπὸ ις' ἕως κ' σεισμὸς γένηται, ταπείνωσιν τοῖς διὰ λόγων ἀπειλεῖ, [f. 444] τῷ τόπῳ δὲ ἐναλλαγὴν ἄρχοντος· ἐὰν δὲ ἀπὸ κ' ἕως λ' σεισμὸς γένηται, πόλεμος ἔσται καὶ πτῶσις ἀρχόντων· εἰ ἀπὸ τῆς λ' σεισμὸς γένηται, χειμῶνας ψυχροὺς σημαίνει, χώρα ἀπολεῖται. εἰ δὲ ὁμίχλη πέσῃ εἰς τὴν γῆν, σῖτος ἔσται πολύς. εἰ δὲ πνεῦμα πνεύσῃ ἐξαίσιον ἡμέρας ζ', ὑετὸν σημαίνει καὶ σῖτος ἔσται πολύς. εἰ δὲ βροντήσῃ, φθορὰν καὶ ἀνδρῶν δυναστῶν ἀπὸ λοιμοῦ σημαίνει. εἰ δὲ Σελήνη ἀμυδρὰ γένηται, στρατεύματα ἐπιστρατεύσωσι, <θόρυβος> ἔσται τῇ χώρᾳ ἢ τῷ κρατοῦντι· εἰ δὲ αἱματώδης γένηται, μεγάλων ἀνδρῶν ὄλεθρον δηλοῖ. εἰ δὲ σεισμὸς γένηται, θόρυβον τῇ χώρᾳ σημαίνει. εἰ δὲ κεραυνὸς πέσῃ, πόλεσι παραθαλασσίαις ἀπώλεια ἀνθρώπων.

Μὴν Ἰούλιος. Καρκίνος. Εἰ ἐν Καρκίνῳ τῇ πρώτῃ φυλακῇ ἀμυδρὰ γένηται ἡ Σελήνη, στράτευμα ἀλλότριον ἐπὶ τὴν βασίλειον στρατευθήσεται χώραν καὶ ταραχθήσεται ἡ χώρα. εἰ δὲ ἀπὸ πρωῒ ἕως μεσημβρίαν <σεισμὸς> γένηται, θεοχολωσίαν ἀπειλεῖ. εἰ δὲ [ἡ] ἀπὸ ϛ' ἡμέρας ἕως

1 μηνὶ cod. δίδημος cod. ἐκκλίψει cod. 2 ἕταιροι cod. σέλη cod. 3 ἐκκλείψει cod. λειμὸς cod. 4 τῶν addidi. λιμῷ καὶ φθορᾷ scripsi : λιμοῦ καὶ φθορᾶς cod.; an scribendum ἀκρίδων φθορᾶς λιμῷ? 5 ταραχῶδες cod. 6 ὁ et Ἀφροδίτης ἀστὴρ ex Lyd., p. 50, 15 supplevi. ταραχώδης : τάραχος cod. 7 ἀστὴρ addidi et ἡμέρᾳ pro θ' scripsi coll. Lyd., p. 50, 17-18. 8 πρηστὴρ coll. Lyd., p. 50, 18 scripsi : αστὴρ cod. θόροβος cod. 10 λοιμὸς Cumont : λοιπὸν cod. 11 τοπικὰ : τόπι cod. 13 ις' : δεκαεννάτης Lyd., p. 50, 26. 14 λιμὸς cod. 15 ις' scripsi : ιε' cod.: εἰκοστῆς Lyd., p. 51, 3. 16 τόπῳ δὲ coll. Lyd., p. 51, 4 scripsi : τε δῆ cod. 17 κ' : ιε' Lydi (p. 51, 5) codex Caseolinus : εἰκοστῆς πέμπτης Hase. 18 ψυχρὸς cod. : μεγάλους Lyd., p. 51, 8. 20 πνεύσῃ : πέσι cod. 21-22 ἀπὸ λοιμοῦ σημαίνει scripsi : ἀπωλιμοῦ σισμοῦ cod. 23 θόρυβος inserui coll. infra l. 29 et p. 185, 6. 25 πόλις παραθαλασίοις cod. 28-29 στρατευθήσεται coll. p. 185, 23 scripsi : στρατευθήσονται cod. 29 χώραν : χῶρα cod. 30 σεισμός ex Lyd., p. 51, 18 supplevi. θεόχολος cod. ἡ uncinis inclusi. ἡμέρας : ὥρας Lydi (p. 51, 19) codex Caseolinus, quod Wachsmuth correxerat.

λ' γένηται, τοῖς μὲν πρωτεύουσι τῆς χώρας μετανάστασιν, τοῖς δὲ λοιποῖς θόρυβον ἀπειλεῖ. εἰ δὲ ἀπὸ τῆς <α'> φυλακῆς τῆς νυκτὸς ἕως γ' ἀρχομένης σεισμὸς γένηται, τοῖς μὲν διὰ λόγων ὀφθεῖσιν ἀτιμίαν δηλοῖ, τοῖς δὲ βιβλίοις φθορὰν [f. 444v] καὶ τοῖς ὑπὸ τὴν ἀνατολὴν πολέμους. εἰ δὲ ψόφος ἐν οἴκῳ γένηται, τελευτήσει <ὁ δεσπό>της τοῦ οἴκου. εἰ δὲ σεισμὸς γένηται, δι' ὅλου τοῦ Ἰουνίου θόρυβος ἔσται τῇ χώρᾳ καὶ τύραννοι ἀναιρεθήσονται ὑπὸ τοῦ βασιλέως. εἰ δὲ κεραυνὸς πέσῃ εἰς τὴν γῆν, παραθαλασσία πόλις ἐρημωθήσεται καὶ μεγάλοι ἄνδρες ἐν ἀπορίᾳ καταστήσονται. εἰ δὲ Σελήνη αἱματώδης φανῇ, ἄνδρες δυνατοὶ κακοδαιμονήσουσι. εἰ δὲ Σελήνη ἐκτείνῃ τὴν μίαν κεραίαν, ὕδωρ λείψει καὶ αὐχμὸς ἔσται. εἰ δὲ ἐκ τῆς γῆς ἦχος γένηται, ἐν μάχαις πολλοὶ ἔσονται. εἰ δὲ ἐξ ἴσου ἡ Σελήνη τὰς κεραίας ἔχῃ, εἰρήνη ἔσται καὶ εὐθηνία. εἰ δὲ βροντήσῃ, φθορὰ ἔσται. <εἰ Ἥλιος> ἀμαυρὸς γένηται, μέγας ἀνὴρ ἀπολεῖται. εἰ Σελήνη ἀμαυρὰ γένηται, τὸ αὐτὸ σημαίνει. εἰ δὲ ὁμίχλη εἰς τὴν γῆν πέσῃ, <ὁ> ἡγούμενος τοῦ τόπου ἐναντίων ἔσται καὶ εἰς τὰ τετράποδα καὶ εἰς τοὺς ἀνθρώπους λοιμὸς ἔσται. εἰ δὲ σεισμὸς γένηται ἀπὸ τῆς ϛ' ἕως πρωῒ καλανδῶν Αὐγούστου, φόβον καὶ στενοχωρίαν σημαίνει. εἰ δὲ ἀπὸ Ἡλίου δυσμῶν σεισμὸς γένηται ἕως πρωῒ ἐπιφαύσκοντος, βιαίων ἀνδρῶν ἀπώλεια ἔσται.

Μὴν Αὔγουστος. Λέων. Εἰ ὁ Ἥλιος [f. 445] ἀμαυρὸς γένηται, ἀνὴρ δυναστεύσας ἀποθάνῃ. εἰ δὲ ἡ Σελήνη ἑωθινῇ φυλακῇ ἀμαυρὰ γένηται, ἀλλότριον στράτευμα ἐπιστρατευθήσεται τῆς τοῦ βασιλέως χώρας. εἰ δὲ σεισμὸς γένηται, θόρυβος ἔσται πολὺς καὶ τύραννοι ἀναιρεθήσονται καὶ ἀπομερισμὸς ἔσται ἐλλογίμων ἀνδρῶν. εἰ δὲ ἡ Σελήνη αἱματωθῇ, ἄνθρωποι μεγάλοι εἰς ἀνάγκας ἐμπεσοῦνται. εἰ δὲ ὁμίχλη <πέσῃ>, ἄνθρωπος μέγας εἰς ἀνάγκας ἐμπεσεῖται. εἰ δὲ θύων τις πρόβατον χολὴ μὴ εὑρεθῇ, θάνατος ἔσται <τῇ> χώρᾳ ἐκείνῃ. εἰ βροντὴ γένηται, θόρυβον <σημαίνει>· οἱ καρποὶ ἀπὸ θηρίων βρωθήσονται καὶ ἔσται λιμός. εἰ δὲ ἀνυδρία [ἡ ὑπὸ τῇ Σελήνῃ] γένηται, <ὕστερον> ὕδατα πολλὰ ἔσται καὶ

1 μετανάστασις cod. 2 α' ex Lyd., p. 51, 21 supplevi. 3 μὲν : μὲ cod. ὀφθεῖσιν dubitanter scripsi coll. Lyd., p. 51, 23 : ἀσκοῦσιν δὲ cod.: ἀκουσθεῖσιν? Cumont. 4 ὑπὸ : περὶ Lyd., p. 51, 24. 5 <ὁ δεσπό>της scripsi : τῆς cod. 6 Ἰουνίου scripsi : ἡλίου cod. 7 ἀναιρεθήσονται scripsi : ἀνενύσθαι cod. 8 παραθαλασίας cod. 9 καταστήσεται cod. αἱματῶδες cod. 10 Σελήνη : σεσσελήνη cod. 11 αὐχμὸς : ἀχμὸ cod. 12 ἐν μάχαις scripsi : ἐγχάιλιαις cod. 13 εἰ Ἥλιος addidi coll. infra l. 21. 14 μέγαρ cod. εἰ : ἡ cod. ἀμαυρῆ cod. 15 ὁ inserui. 16 ἐναντίον Boll. 17 λιμὸς cod. 18 στεναχορία cod. Ἡλίου scripsi : ἰουλίου cod. 19 ἐπιφασκοῦντος cod. 21 Εἰ ὁ Ἥλιος scripsi : ἰούλιος cod. 23 ἐπιστρατευθήσεται corrigere nolui. τῆς ... χώρας servavi. 24 ἀναιρεθήσονται scripsi : ἀνεθύσονται cod. 25 ἐξορισμὸς coni. Cumont. 26 πέσῃ addidi. 27 ἀναγκῶν cod. θύων scripsi : θήον cod. 28 an pro θάνατος, θόρυβος scribendum? τῇ addidi. 29 σημαίνει inserui. βρωθήσεται cod. λιμὸς scripsi : χιμὸς cod. 30 ἀνυδρία pro ἀμιδρὸς scripsi, ἡ ὑπὸ τῇ Σελήνῃ uncinis inclusi, ὕστερον addidi coll. supra p. 124, 25. εἰ δὲ ἀμυδρὰ ἡ Σελήνη γένηται, ὕδατα... coni. Cumont.

ἀνὴρ μέγας ἀπολεῖται. εἰ δὲ ἦχος ἀπὸ τῆς γῆς γένηται, λιμὸς καὶ λοιμὸς καὶ σφαγαὶ κατὰ τόπους. εἰ δὲ <ἀστέρες> φανῶσιν ἡμέρᾳ, ἀνδρῶν μεγάλων σφαγὰς καὶ θορύβους δηλοῖ. εἰ δὲ ὁμίχλη ἐπὶ τὴν γῆν <πέσῃ>, ἀγαθὸν σημαίνει. εἰ δὲ σεισμὸς γενήσεται, φόβος καὶ στενοχωρία ἔσται· λοιμὸς τετραπόδων καὶ ἀνθρώπων ἀπώλεια.

Μὴν Σεπτέβριος. Παρθένος. Εἰ ἐν Παρθένῳ ἡ Σελήνη τῇ πρώτῃ φυλακῇ ταραχώδης γένηται, λιμὸς ἔσται καὶ πόλις ἀπὸ δύσεως καταληφθήσεται. εἰ δὲ ἦχος ἐκ τῆς γῆς γένηται, θόρυβος ἐν τῇ χώρᾳ καὶ φόβος γενήσεται. εἰ δὲ ἄστρον ἐπι[f. 445ᵛ]δράμῃ, ἄνθρωπος πλούσιος πεσεῖται καὶ πενητεύσει. εἰ δὲ ὁ τῆς Ἀφροδίτης εἰς τὴν Σελήνην εἰσέλθῃ, φυγαὶ ἀνθρώπων ἔσονται. εἰ δὲ ὁμίχλη πέσῃ, ἀγαθὸν τῇ χώρᾳ σημαίνει. εἰ δὲ σεισμὸς γένηται, σοφοὶ ἄνθρωποι ἀπολοῦνται. εἰ δὲ βροντήσῃ, φθορὰν δηλοῖ. εἰ δὲ ὑετοὶ ἐπακολουθήσουσι, λύσις τῶν κακῶν ἔσται. εἰ δὲ ἦχος ἐκ τῆς γῆς γένηται, **. εἰ δὲ σεισμός, ἀνὴρ μέγας ἀπόληται. εἰ δὲ σεισμὸς γένηται ἀπὸ πρωῒ καλανδῶν Σεπτεβρίου, εὐημερίαν δηλοῖ.

Ὀκτώβριος. Εἰ ἐν Παρθένῳ ἡ Σελήνη τῇ πρώτῃ φυλακῇ ταραχώδης γίνεται, λιμὸς ἔσται καὶ πόλις ἀπὸ δύσεως καταληφθήσεται. εἰ δὲ ἦχος ἐκ τῆς γῆς γένηται, θόρυβος ἔσται ἐν τῇ χώρᾳ καὶ σφαγαὶ γενήσονται. εἰ δὲ ἄστρον ἐπιδράμῃ, ἄνθρωπος πλούσιος πεσεῖται καὶ πενητεύσει. Ὀκτώβριος. Ζυγός. Εἰ ὁ Ἥλιος ἐρυθρὸς γένηται ἐν Ζυγῷ, σύμμαχοι βασιλέως ἀποστήσονται. <εἰ> τῇ δευτέρᾳ φυλακῇ ἡ Σελήνη ἀμαυρὰ γενήσεται, τετραπόδων φθορὰ ἔσται. ἐὰν δὲ ἦχος ἐκ τῆς γῆς γένηται, ἄνθρωπος δυναστεύων ἀπόληται καὶ ἕτερος ἐπὶ τῶν πραγμάτων ἔσται. εἰ δὲ ἀνατελλούσης Σελήνης αἱ κεραῖαι πλησίον γένωνται, ὕδωρ ἔσται πολὺ ὥστε μὴ δύνασθαι τὸν καρπὸν συνάξαι καὶ σῖτος ἔσται πολύς. [f. 446] εἰ δὲ σεισμὸς γένηται, ἐπὶ πᾶν πρᾶγμα μείζων ἄνθρωπος ἔσται καὶ πολυχρόνιος. εἰ δὲ βροντήσῃ, πολὺν σῖτον δηλοῖ· εἰ δὲ ὁμίχλη εἰς γῆν πέσῃ, σίτου ἔσται ἀφορία. εἰ δὲ ἄστρον ἐν ἡμέρᾳ διαδράμῃ, θορύβους σημαίνει γενέσθαι καὶ σφαγὰς στρατευμάτων. εἰ

1 λιμὸς καὶ λοιμὸς scripsi : χυμὸς καὶ λυμὸς cod. 2 ἀστέρες inserui. 3 σφαγαὶ cod. θόρυβοι cod. εἰ : ὁ cod. πέσῃ inserui. 5 λιμός cod. ἀπόλιαν cod. 6 μὴνισεπτεύβριος cod. 8 καταληφθήσεται scripsi, coll. infra l. 18 : καταλυθήσεται cod. 10 Ἀφροδίτης coll. Lyd., p. 52, 21 scripsi : χῶρας cod. 12 ἀπόλειται cod. 13 ὑετοὶ coll. supra p. 125, 5 scripsi : εἴτι cod. 14 lacunam significavi. 15 πρωῒ coll. supra p. 125, 6 scripsi : η′ cod. σεπτευβρίου cod. 17 Παρθένῳ ἡ Σελήνη scripsi : παρθένισσσελήνη cod.; nolui Ζυγῷ pro Παρθένῳ scribere; gravioribus enim mendis a l. 5 sqq. textus laborat, in quo de Septembri et Octobri capitula intermixta esse videntur. 18 γήνεται cod. καταληφθήσεται (coll. Lyd., p. 53, 12 ... δυτικαὶ πόλεις αἰχμαλωτισθήσονται) scripsi : καταληθήσεται cod. 20 γενήσονται scripsi : γένηται cod. 22 ἀποστήσεται cod. εἰ inserui. 25 γένηται cod. 26 δύνασται cod. 28 βροντήσῃ scripsi : βροντῇ cod. πολὺ cod. 29 σίτος cod. ἀφορία hic et in Melampodis lunario (*Catal.*, IV, p. 112, 14); v. contra supra p. 125, 13, σίτου εὐφορίαν δηλοῖ. 30 θορύβους σημαίνει scripsi : θορύβοσιν cod.

δὲ ἡ Σελήνη ἐκλείψει, θάνατον ἀνθρώπων καὶ τετραπόδων <σημαίνει>. εἰ δὲ σεισμὸς γένηται, θόρυβον καὶ ἀκαταστασίαν δηλοῖ καὶ ἄρχων τῆς χώρας ἀποθάνῃ. <εἰ δὲ σεισμὸς γένηται> ἀπὸ ὥρας α′ ἕως μεσονυκτίου ἢ ἕως πρωῒ ἐπιφαύσκοντος, [ἕως πρὸς] θόρυβον τῇ χώρᾳ ἀπὸ τῶν ἀνθρώπων σημαίνει.

Μηνὶ Νοεμβρίῳ. Σκορπίος. Εἰ ἐν Σκορπίῳ ἡ Σελήνη τῇ πρώτῃ φυλακῇ αἱματώδης γένηται, ἐπανάστασιν σημαίνει καὶ ἕτερος ἐπὶ τῶν πραγμάτων ἔσται. εἰ δὲ τὸ ἱερὸν αὐτοῦ φαῦλον ἢ στυγνὸν γένηται, θάνατον τοῖς ἀνθρώποις σημαίνει. εἰ δὲ ὁμίχλη πέσῃ, φθορὰν τοῦ σίτου δηλοῖ. εἰ δὲ ὅλον τὸν μῆναν ἐξαίσιος ἄνεμος πνεύσει, οἱ πρωτεύοντες πεσοῦνται. ἐὰν [τὸ] ἄστρον διαδράμῃ, θόρυβος ἔσται πολὺς τοῖς παραθαλασσίοις. εἰ δὲ ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, σφαγὰς ἀνθρώπων σημαίνει. εἰ δὲ τῆς Σελήνης αἱ κεραῖαι εἰς τὸ αὐτὸ ἔλθωσι, σῖτος ἔσται πολὺς καὶ θάνατος ἀνθρώπων καὶ τετραπόδων. εἰ δὲ ἡ Σε[f. 446ᵛ]λήνη ἐκλείψει, θάνατος ἔσται ὑποζυγίοις καὶ θηρίων πτῶσις. εἰ δὲ σεισμὸς γένηται, ἐπιφορὰν θανάτου δηλοῖ καὶ ἄνθρωπος δυναστεύων ἀπολεῖται. εἰ δὲ βροντήσει, σῖτος ἔσται πολύς. εἰ δὲ σεισμὸς γένηται ἀπὸ καλανδῶν Ὀκτωβρίου <ἕως> πρὸ τριῶν <καλανδῶν> Νοεμβρίου, ἐπιβουλὴ καὶ ταραχὴ ἔσται καὶ φυγὴν τοῖς ἐν τῇ χώρᾳ ἐκείνῃ σημαίνει.

Μηνὶ Δεκεβρίῳ. Τοξότης. Εἰ ἐν Τοξότῃ Σελήνη αἱματώδης γένηται, πολλαὶ <καὶ> μεγάλαι ἀκαταστασίαι ἔσονται καὶ ἕτερος ἐπὶ τῶν πραγμάτων στήσεται. εἰ δὲ ἡ Σελήνη τῇ διχομηνίᾳ φαύλη γένηται, ἐπανάστασιν τῶν βασιλέων δηλοῖ. εἰ δὲ ἡ Σελήνη τῇ δευτέρᾳ φυλακῇ φαύλη γένηται, ἀνὴρ δυναστεύων ἀπὸ βασιλείας ῥιφήσεται. εἰ δὲ ὁμίχλη πέσῃ, φθορὰν τοῦ σίτου δηλοῖ. εἰ δὲ ὅλον τὸν μῆναν ἄνεμος πνεύσῃ, θάνατον μεγάλων ἀνδρῶν σημαίνει. εἰ δὲ ἦχος ἐκ τῆς γῆς γένηται, φυγαὶ ἀνθρώπων ἔσονται. εἰ δὲ σεισμὸς γένηται, ἀνὴρ δυνάστης σφαγήσεται. εἰ δὲ ὁμίχλη εἰς γῆν πέσῃ, χάλαζα τοὺς καρποὺς διαφθείρει. εἰ δὲ σεισμὸς γένηται, μεταβολὴ τῶν πραγμάτων ἔσται καὶ ἄνθρωπος μέγας ἀπόληται. εἰ δὲ Ἡλίου δύνοντος σεισμὸς γένηται, τοῖς ἐν τῷ τόπῳ ἄνεσιν σημαίνει καὶ φθορὰν κτηνῶν καὶ μετάστασιν ἡγουμένων. [f. 447] εἰ δὲ πυκνοὶ σεισμοὶ γένωνται, θόρυβον τῇ χώρᾳ σημαίνουσι καὶ βιαίων ἀνθρώπων ἐπιφοράς.

1 ἐκκλήψει cod. σημαίνει inserui. 2 ἀκαταστασία cod. 3 ἀπὸθάνει cod. εἰ δὲ σεισμὸς γένηται coll. supra p. 125, 13 inserui. 4 ἐπιφάσκοντος cod. ἕως πρὸς uncinis seclusi. θόρυβος cod. 6 Σκορπίῳ : σκορπίης cod. 8 στηγνῶν cod. 10 σίτου <σίτου> cod. μῆναν *sic* cod. ἐξαίσιος scripsi : ἰσο cod. 11 τὸ uncinis seclusi. 12 τοῖς : τε cod. 13 κεραῖαι : καιραὶ cod. 15 ἐκκλείψει cod. πτῶσις scripsi : πίωσης cod. 18 ἕως et καλανδῶν inserui ; an pro Ὀκτωβρίου, Νοεμβρίου et l. 19 pro Νοεμβρίου, Δεκεμβρίου scribendum? At hoc praesagium, ut alia, a capitulo antecedenti in huuc locum traiectum esse suspicor. 19 φυγὴ cod. 21 δὲκευβρίῳ cod. Τοξότῃ : τοξότης cod. 22 καὶ inserui. ἀκατασίαις cod. ἔσονται scripsi : ἔσται cod. 26 μῆναν *sic* cod. 30 διάφθήρης cod. 31 ἔσται scripsi : ἔσονται cod. 34 ἐπιφοραὶ cod.

EXCERPTA EX CODICE 45 (Paris. gr. 2381)

[F. 56 in marg.] Ἀνατολίου περὶ γεννήσεως [1].

Τὰ γεννώμενα ἐν ἡμέρᾳ Κρόνου εἰσὶ μακροπρόσωπα, κοιλόφθαλμα, μελάγχροα, εὔσαρκα, δυσήθη, εὔθετα, βλαβερά, ἐπικατηγμένα, ἐτῶν νζ'.

Τὰ δὲ τοῦ Διὸς γίνονται οἰνοπόται, πρόκρανα, μακροήμερα, ἐτῶν οθ'.

Τὰ δὲ τοῦ Ἄρεως εἰσι σπανά, μέθυσα, ἀσεβῆ, κλέπται, φονεῖς, ἀναιδῆ, πονηρά, ἐπίορκα, οὐλοπρόσωπα, βιαστικά, ἀσελγῆ, πόρνοι, πολύτεκνα, ἐπιθυμοῦντα τῶν ἀλλοτρίων, μακροπρόσωπα. εἰ δὲ θῆλυ γεννηθῇ, ἐπὶ βλάβῃ τῶν γονέων γενήσονται. γίνονται δὲ ταῦτα πυρώδη, ἐπίγρυπα, ἐτῶν ξϛ'.

Τοῦ δὲ Ἡλίου γίνονται ὑαλώδη, κατάγραφα, εὐειδῆ, ὡραῖα, ἐγερτικά, ταχύτατα, ἀληθῆ, μακροήμερα, ἐτῶν ρκ'.

Τῆς Ἀφροδίτης εἰσὶ λευκόχροα, εὐειδῆ, κάθυγρα, παρανενευκότα τοὺς ὀφθαλμούς, συνόφρυα, λευκοτράχηλα, λευκόκνημα, εὐχρηστόψυχα, κοινά, πραέα, ὀλιγοφάγα, πολύποτα, εὐσεβῆ, δίκαια, φιλόφιλα, ἱεροποιά, ἐτῶν πβ'.

Τοῦ δ' Ἑρμοῦ εὔπρακτα, μεμουσωμένα, αὐτοπαίδευτα, εὔλογα, παρὰ πολλῶν ὠφελούμενα· πάντα δὲ ἀποβάλλουσι γυναιξὶ καὶ πολλαῖς συνέσονται ἐπαπογήμαντες, ἐτῶν οϛ'.

Τῆς δὲ Σελήνης γίνονται γλαυκά, πλατυπρόσωπα, μακροήμερα, ἐτῶν ρκ' ἢ ρη'.

6 ἀναιδεῖ. πονηροί cod. ἀσελγεῖς cod. 7 πολύτεκνοι. ἐπιθυμοῦντες cod. 13 σύνοφρα cod. 15 ἱεροποιῆ cod. πβ' scripsi : ρπβ' cod. 18 ἐπαπογήμὰντες dubitanter scripsi : ἐποπαγῆμαι cod.

[1] Hoc opusculum de genethliaca ex planetis ratione Anatolii in codice fertur. Qui vel συναγωγῆς γεωργικῶν ἐπιτηδευμάτων scriptor (cf. Wellmann in Pauly-Wissowa, *Realencyclopädie*, I, col. 2073) esse videtur vel episcopus ille Laodicensis (v. Harnack, *Altchr. Lit.*, I, p. 436), cuius mathematicorum et astronomiae et physicorum scientiam cognitionemque collaudavit Eusebius (*Hist. eccl.*, VII, 32, 6). Ad Anatolium Laodicensem iam *Liber de ratione paschali* refertur, iniuria quidem si doctissimos sequeris (v. Harnack, *l. c.*; Anscombe, *The english historical review*, X, 1895, p. 515; Turner, *ibid.*, p. 699).

Dodecaeteris chaldaica.

De dodecaeteride chaldaica adeas velim quae Boll in *Catal.*, V, 1, p. 171, 241; Cumont, supra p. 92, n. 1 exposuerunt. Exemplar, quod hic edimus, haud raris locis cum Zoroastris opusculo in *Geoponicis*, I, 12 servato et cum excerptis in *Catal.*, II, p. 144 sqq.; V, 1, p. 172 editis congruere adnotationibus nostris demonstrabitur. Quaedam autem, quod sciamus, nova (l. 14-19; p. 190, 1-6) praebet, quae ad chorographiam astrologicam pertinent. An exemplar codicis Vindobonensis 4, f. 158 conferendum sit nescio.

[F. 68.] Ἔτος Κριοῦ.

Ἔσονται χειμῶνες οὐκ εὐδιάλυτοι, περὶ δὲ τὰ μέσα τούτων ἐκπεσοῦνται λάβρα πνεύματα ἕως ἰσημερίας ἐαρινῆς· ** εἰς ὕδατα μαλακὰ ἐπὶ τὸ λιθαργῆσαι τὰ ξυλικὰ ἔργα. ὥστε ἔσται κλαδεία ὀψίμη, βοσκημάτων εὐετηρία. τὸ μὲν θέρος εὔκρατον, τὸ δὲ φθινόπωρον καυματῶδες καὶ τὸ θέρος οὐ καρποφόρον. ὁ ἐλαϊκὸς καρπὸς πολύς· ἀλλάξει γὰρ ὥριμος γενόμενος. ἀσθένειαι ἔσονται τοῖς ἀνθρώποις ἐκ κεφαλῆς καὶ ὀφθαλμῶν, γυναιξὶ δὲ ἐγκύοις εὔθετον τὸ ἔτος. ὄσπρια οὐκ ἔσται ἐκτὸς εἰ μὴ πρώϊμα· ἐπιτηδεία γὰρ εὐδία ἔσται. ἐν δὲ τῇ θερινῇ μεταβολῇ ὕδατα ἔσονται πολλὰ καὶ ποικίλα καὶ εἰς τὴν ξυλικὴν ἐργασίαν διαφθορά· ὁ δὲ σῖτος κατὰ τόπους κάρπιμος πλέον τοῦ Διονυσιακοῦ καρποῦ.

Ἔτος Ταύρου.

Ὑποτέτακται αὐτῷ Κύπρος, Αἴγυπτος, Πόντος, Λυκία, Ῥόδος. θλίψει οὖν τοὺς ὑποταττομένους αὐτῷ τόπους λιμῷ καὶ λοιμικοῖς πάθεσι, ἀφορίαν πάντων καρπῶν ποιήσει. χειμῶνες ἔσονται ψυχροὶ συνεχεῖς. ἐπιθλίψει καὶ τοὺς τῷ Σκορπίῳ ὑποκειμένους, οὐχ οὕτως δὲ ὡς τοὺς ἑαυτῷ. Φρυγίᾳ βοῶν καὶ προβάτων λοιμὸν ποιήσει καὶ ἀφορία ἔσται. ἀνατολικὰ πνεύματα ἐπικρατήσουσι καὶ νότοι ἔσονται. ἐν τούτῳ δεῖ συντελεῖν τὸν σπόρον ἀπὸ μηνὸς Σεπτεμβρίου. τῶν δὲ τόπων τὰ πεδινὰ οἴσει μᾶλλον. ἀσθένειαι γενήσονται ἀπὸ συνάγχης· ἀκρίδων ἐπιφορά. μηδὲ φυτεύειν ἐν τούτῳ. ἔσονται καὶ θηρία πολλὰ ἐν αὐτῷ.

1 cf. *Catal.*, II, p. 144, 6-20; 150, 10-17; V, 1, p. 173, 1-13; *Geopon.*, ed. Beckh, p. 22, 5 sqq. Ἔτος scripsi : ἔτους cod. 3 λάβρα scripsi : λαῦ (ρ supra) cod. lacunam significavi coll. *Catal.*, II, p. 144, 12; V, 1, p. 173, 10; *Geopon.*, p. 22, 10. 13 Ἔτος scripsi : ετους cod. 20 ἐν τούτῳ etc.; cf. *Catal.*, II, p. 145, 9; V, 1, p. 173, 18. τῶν δὲ etc.; cf. *Catal.*, II, p. 145, 12; V, 1, p. 173, 20; *Geopon.*, p. 23, 2.

Ἔτος Διδύμων.

Τοῦτο τὸ ζῴδιον Ἡρακλέους καὶ Ἀπόλλωνος καὶ Ἑρμοῦ οἰκητήριον. ὑποτέτακται αὐτῷ Πόντου μέρος ἐν τοῖς δεξιοῖς, ἀριστεροῖς ἡ Ἰνδική, ὀπισθίοις Βοιωτία. θλίψει αὐτὰ λοιμικοῖς πάθεσι, ἀταξίᾳ χειμώνων, ἀφορίᾳ καρπῶν, πολέμῳ ἐμφυλίῳ. τὰ δὲ τῷ Ὑδροχόῳ ὑποταττόμενα μέρη κόρον ἕξουσι καὶ εἰρήνην.

Reliqua desiderantur.

De sortibus.

[F. 71v.] Περὶ κλήρων, τί εἰσι καὶ πόθεν ἐκβάλλονται.

Ἰστέον ὅτι ϙδ′ κλήρους ἐχρήσαντο Βαβυλώνιοι καὶ Πέρσαι· τρία δὲ εἴδη τῶν ϙδ′ κλήρων. πρῶτον εἶδος τὸ λαμβανόμενον ἀπὸ τῶν ζ′ ἀστέρων, δεύτερον ἀπὸ τῶν ιβ′ τόπων, τρίτον τὸ μὴ ἐκ τῶν ιβ′ τόπων λαμβανόμενον, οἵπερ εἰσὶ ι′. ὁ μὲν οὖν ὡροσκόπος ἔχει κλήρους δ′· δόξης, ὑποστάσεως, φρονήσεως, λογιότητος. ὁ δὲ δεύτερος γ′· πλούτου, ἐπιθυμίας, λόγων. ὁ τρίτος γ′· κλῆρον ἀδελφῶν, ἀριθμὸν ἀδελφῶν, κλῆρον θανάτου ἀδελφῶν. ὁ τέταρτος τόπος η′· κλῆρον γονέων, θάνατον αὐτῶν, πάππων, τῶν ὑπὸ χεῖρα, τῶν ἀκινήτων ὑποστάσεων, περὶ οἰκημάτων, περὶ γεωργίας, πραγμάτων ἀποβάσεως. ὁ πέμπτος τόπος ε′· κλῆρον τέκνων, καιροῦ καθ᾽ ὃν γεννηθήσονται τὰ τέκνα καὶ τοῦ ἀριθμοῦ αὐτῶν, περὶ ἀρρένων, θηλυκῶν καὶ τῆς ἀμφιβολίας εἰ θηλυκὰ ἢ ἄρρενα. ὁ ἕκτος τόπος δ′· κλῆρον νόσου, τοῦ σίνους καὶ τοῦ πάθους· ἐφεῦρε δὲ τοῦτο ὁ Ἑρμῆς· ὁ δεύτερος τῆς ἀρρωστίας κατά τινων δόξαν ἀρχαίαν, ὁ τρίτος τῶν δούλων, ὁ τέταρτος τῶν αἰχμαλώτων. ὁ ἕβδομος τόπος ἔχει κλήρους ιϛ′· κλῆρον γάμου ἀνδρῶν κατὰ Οὐάλεντα, δόλου ἀνδρῶν πρὸς γυναῖκας, περὶ συνουσίας, περὶ μοίχων, περὶ γάμου γυναικῶν κατὰ Ἑρμῆν, περὶ γάμου κατὰ Οὐάλεντα, περὶ ἀπάτης γυναικὸς κατὰ Οὐάλεντα πρὸς ἄνδρας, περὶ συνουσίας, περὶ μοιχῶν κατὰ Ἑρμῆν, περὶ σωφροσύνης, περὶ καιροῦ γάμου, περὶ ὅλου γάμου, περὶ γαμβρῶν, περὶ τῶν ἐναντίων. ὁ ὄγδοος τόπος ἔχει κλήρους ε′· κλῆρον θανάτου, ἀναιρετικοῦ ἀστέρος, καθ᾽ ὃν μέλλει ἀποθνήσκειν ὁ ἄνθρωπος, τοῦ βαρέος ἀστέρος, τῆς περιστάσεως καὶ ἀνάγκης. ὁ ἔνατος τόπος ἔχει κλήρους ζ′· κλῆρον τῆς διὰ ξηρᾶς ἀποδημίας, τῆς διὰ πλοός, περὶ θρησκείας,

1 Ἔτος scripsi : ἔτους cod. 2 cf. *Geopon.*, p. 23, 11 ... ἐν οἴκῳ Ἑρμοῦ... 8 κλήρους corrigere nolui. 11 ι′ coll. infra p. 191, 13 scripsi : π′ cod. 22 an ιδ′? 25 κατὰ Οὐάλεντα prius; cf. Vett. Valent., ed. Kroll, p. 118, 30.

περὶ πονηρίας, περὶ γνώσεως, περὶ φήμης καὶ ἀγγέλων εἰ ἀληθεῖς ἢ οὔ. ὁ ι′ τόπος ἔχει κλήρους ιβ′· περὶ εὐγενείας τῶν γεννηθέντων, περὶ βασιλέως ἢ ἐξουσίας, περὶ οἰκονομίας, περὶ τροπῆς καὶ νίκης, περὶ τῶν αἴφνης εἰς ἐξουσίαν ἀναγομένων, περὶ εὐτυχίας καὶ φήμης ἀνδρῶν, περὶ στρατιωτῶν, περὶ πράξεως, περὶ πρακτικῶν τεχνῶν καὶ πραγματειῶν, περὶ πράσεως καὶ ἀγοράσεως, περὶ τῶν ἀναγκαιοτέρων πραγμάτων, περὶ μητρός. ὁ ἑνδέκατος τόπος ἔχει κλήρους ια′· περὶ εὐγενείας, περὶ φιλίας, περὶ τῆς τῶν ἀνθρώπων τιμῆς, περὶ τῶν ἀνὰ χεῖρα αἰδησίμων, περὶ ἐπιθυμιῶν καὶ ἀγωνιῶν ἐν βίῳ, περὶ ἐλπίδων, περὶ φίλων, περὶ ἀναγκαίων πραγμάτων, περὶ εὐθηνίας τῶν ἐν οἴκῳ ἀγαθῶν, περὶ ἐλευθεριότητος ψυχῶν, περὶ ἐπαίνων ἐξ ἀνθρώπων. ὁ δωδέκατος τόπος ἔχει κλήρους γ′· κλῆρον ἐχθρῶν κατὰ ἀρχαίους, περὶ τῶν ἐχθρῶν κατὰ Ἑρμῆν, περὶ ταλαιπωρίας. οἱ δὲ τρίτοι κλῆροί εἰσι δέκα· κλῆρος ἀφέτου, κλῆρος ταλαιπωρουμένων περὶ τὸ σῶμα, κλῆρος ἱππασίας, κλῆρος τόλμης καὶ ἀνδρείας, κλῆρος ἀπάτης καὶ δόλου, ἐπιθυμίας, ἀπραξίας, ἀναγκαίων κατὰ Πέρσας, ἀνταποδόσεως, δικαιοσύνης καὶ ἀληθείας.

Calandologion anonymum.

Vide quae de calandologiis Boll in *Catal.*, VII, p. 126, n. 1 congessit. — Hoc calandologion ab opusculis iam editis doctrina plane videtur differre.

[F. 72.] Οἰωνισμὸς ῥωμαϊκὸς εἰς τὰς καλάνδας Ἰαννουαρίου.

[☉]. Εἰ ἐν πρώτῃ ἡμέρᾳ Ἡλίου αἱ καλάνδαι Ἰαννουαρίου, πόλεμος καὶ ἀρχόντων διαμάχη καὶ τῶν ὑπηκόων διχόνοια, οἱ δὲ ξηροὶ καρποὶ ἄφθονοι καὶ φῆμαι παράδοξοι.

Εἰ δὲ ἐν δευτέρᾳ Σελήνης, φθορὰ βρεφῶν, εὐθηνία τῶν ἐπιτηδείων, ἔαρ ψυχρόν, τὰ δ᾽ ἀκρόδρυα δαψιλῶς ἐπιδώσει.

Εἰ δὲ ἐν τρίτῃ Ἄρεως, ἐμπρησμὸς καὶ νόσος, οἴνου καὶ ἐλαίων καὶ ὀσπρίων ἀφθονία καὶ στάσεις ἐμφυλίαι.

Εἰ δὲ ἐν τετάρτῃ Ἑρμοῦ, φθορὰ νηπίων καὶ νόσος ἐκ ῥύσεως γαστρὸς καὶ ταῖς † μέσαις ἐν ἡμέρᾳ γυναιξὶ φθορὰ καὶ λιμὸς ἀπευκταῖος καθόλου.

2 ι′ scripsi : ιη′ cod. 3 τροπῆς scripsi : τρο^π′ cod. 9 αἰδησίμων dubitanter scripsi : αἰδυ^σ′ (?) cod. 19 ☉ uncinis inclusi. πόλεμος etc.; cf. *Byz. Zeitschr.*, V, 1896, p. 419, 2 πολεμικώτατος. 22 εὐθηνία incertum. ἐπ . . ηδείων cod.

Εἰ δὲ ἐν πέμπτῃ Διός, πάντα ἀγαθά, χιονώδης δὲ καὶ ὑετώδης ὁ καιρός, ὡς μηδὲ τοὺς ποταμοὺς ταῖς ἰδίαις ἀρκεσθῆναι κοίταις.

Εἰ δὲ ἐν ἕκτῃ ἡμέρᾳ Ἀφροδίτης, τοῖς μὲν ἄρχουσι θόρυβος, τοῖς δὲ καρποῖς ἐπίδοσις καὶ τοῖς κοινοῖς πόλεμος βαρύς, φθορὰ τῶν ἀνθρώπων καὶ διαφερόντως τῇ νεολαίᾳ.

Εἰ δὲ ἐν ἑβδόμῃ Κρόνου, χειμῶν ψυχρὸς εὐετηρία τε ὅση, νόσος δὲ καὶ κίνδυνος καὶ ἀνέμου τῷ θέρει καὶ χαλάζης ἐπιφορὰ περὶ τὸν Καρκίνον καὶ φῆμαι τοῖς πράγμασιν ἀδόκητοι.

2 ἀρκεισθῆναι cod. 3 Ἀφροδίτης scripsi : ♀ cod. 6 χειμῶν(α) ψυχρόν, εὐετηρίαν τε ὅσην cod. 7 cf. ***Byz. Zeitschr.***, V, 1896, p. 420, 32 χάλαζα πεσεῖται.

EXCERPTA EX CODICE 61 (PARIS. S. GR. 1191)

Tonitruale.

Hoc brontologion imperfectum, quod in medio de Capricorno capitulo abrumpitur, ab eodem archetypo atque opusculum Leoni Sapienti addictum (*Catal.*, III, pp. 4, 25-29), parte, ut ita dicam, seismologica exclusa, ortum est. Ut vero forma uberiore in codice Mediolanensi doctrina traditur, ita haud contemnenda quidem re codex Parisinus priorem obtinet locum. Auctorum enim nomina, quae omnia praeter unum (p. 28, 21 Χαλδαῖοι) in codice Mediolanensi exciderunt, codex Parisinus plerumque retinuit. Archetypi igitur veram imaginem hoc excerpto fretus fingere possis. Tonitruale illud, a quo tot tonitrualia originem duxerunt, Aegyptiorum, Babyloniorum vel Chaldaeorum, Eudoxi[1] doctrinas in singulis mensibus exhibebat. Quo ex tonitruali et opusculi a Boll *Catal.*, VII, p. 164 editi pars lunaris, et excerptum cui Ἡ ἑρμηνεία τοῦ σεισμολογίου διὰ τῶν δώδεκα ζῳδίων (*Catal.*, IV, p. 170) titulus est, et brontologion Zoroastri tributum quod in ***Geoponicis***, I, 10 servatum est, emanare videntur. — Excerpti autem quod subsequitur pars seismologica cum eis quae de eadem re Ἡ ἑρμηνεία τοῦ σεισμολογίου (*Catal.*, IV, p. 170) praebet, paene ad verbum concinit. — Huic excerpto ut Leonis Sapientis opusculo (*Catal.*, III, p. 4) laterculus praemittitur, quo Lunae iter per duodecim signa demonstratur. Simillimum laterculum invenies Heraclii imperatoris nomine exornatum in codicibus Paris. 32 f. 76ʳ, 59 f. 195ᵛ, 61 f. 37, potissimum in codice 28 f. 108ᵛ cuius textus cum excerpto nostro maxime conspirat.

[F. 42ᵛ.] Βροντοσκόπιον τῶν δώδεκα ζῳδίων καθ' ἑκάστην νύκτα <κατὰ> τὸν τῆς Σελήνης δρόμον.

Μηνὶ Μαρτίῳ α' β' Κριός, γ' δ' Ταῦρος, ε' ϛ' ζ' Δίδυμος, η' θ' ι' Καρκίνος, ια' ιβ' Λέων, ιγ' ιδ' ιε' Παρθένος, ιϛ' ιζ' Ζυγός, ιη' ιθ' κ' Σκορπίος, κα' κβ' Τοξότης, κγ' κδ' κε' Αἰγόκερως, κϛ' κζ' Ὑδροχόος, κη' κθ' λ' λα' Ἰχθύς.

2 κατὰ addidi. 3 δίδυμος sic cod. semper. 5 αἰγόκερος cod. semper. 6 ἰχθὺς sic plerumque cod.

[1] De Eudoxo vide quae Boll in *Catal.*, VII, p. 163 doctissime et acutissime exposuit. Cf. Bezold et Boll, ***Reflexe astrologischer Keilinschriften bei griechischen Schriftstellern***, p. 9-11.

Μηνὶ Ἀπριλλίῳ α' β' Ταῦρος, γ' δ' Δίδυμος, ε' ϛ' ζ' Καρκίνος, η' θ' ι' Λέων, ια' ιβ' Παρθένος, ιγ' ιδ' ιε' Ζυγός, ιϛ' ιζ' Σκορπίος, ιη' ιθ' κ' Τοξότης, κα' κβ' Αἰγόκερως, κγ' κδ' κε' Ὑδροχόος, κϛ' κζ' Ἰχθύς, κη' κθ' λ' Κριός.

Μηνὶ Μαΐῳ α' β' Δίδυμος, γ' δ' ε' Καρκίνος, ϛ' ζ' Λέων, η' θ' ι' ια' Ζυγός, ιβ' ιγ' ιδ' ιε' Σκορπίος, ιϛ' ιζ' Τοξότης, ιη' ιθ' κ' Αἰγόκερως, κα' κβ' Ὑδροχόος, κγ' κδ' κε' [f. 43] Ἰχθύς, κϛ' κζ' Κριός, κη' κθ' λ' λα' Δίδυμος.

Μηνὶ Ἰουνίῳ α' β' Καρκίνος, γ' δ' Λέων, ε' ϛ' ζ' Παρθένος, η' θ' ι' Ζυγός, ια' ιβ' Σκορπίος, ιγ' ιδ' ιε' Τοξότης, ιϛ' ιζ' Αἰγόκερως, ιη' ιθ' κ' Ὑδροχόος, κα' κβ' Ἰχθύς, κγ' κδ' κε' Κριός, κϛ' κζ' Ταῦρος, κη' κθ' λ' Δίδυμος.

Μηνὶ Ἰουλίῳ α' β' Λέων, γ' δ' Παρθένος, ε' ϛ' ζ' Ζυγός, η' θ' ι' Σκορπίος, ια' ιβ' Τοξότης, ιγ' ιδ' ιε' Αἰγόκερως, ιϛ' ιζ' Ὑδροχόος, ιη' ιθ' κ' Ἰχθύς, κα' κβ' Κριός, κγ' κδ' Ταῦρος, κε' κϛ' κζ' Δίδυμος, κη' κθ' λ' λα' Καρκίνος.

Μηνὶ Αὐγούστῳ α' β' Παρθένος, γ' δ' ε' Ζυγός, ϛ' ζ' η' Σκορπίος, θ' ι' Τοξότης, ια' ιβ' Αἰγόκερως, ιγ' ιδ' ιε' Ὑδροχόος, ιϛ' ιζ' Ἰχθύς, ιη' ιθ' κ' Κριός, κα' κβ' Ταῦρος, κγ' κδ' κε' Δίδυμος, κϛ' κζ' Καρκίνος, κη' κθ' λ' λα' Λέων.

Μηνὶ Σεπτεβρίῳ α' β' Ζυγός, γ' δ' Σκορπίος, [f. 43v] ε' ϛ' ζ' Τοξότης, η' θ' ι' Αἰγόκερως, ια' ιβ' Ὑδροχόος, ιγ' ιδ' ιε' Ἰχθύες, ιϛ' ιζ' Κριός, ιη' ιθ' κ' Ταῦρος, κα' κβ' Δίδυμος, κγ' κδ' κε' Καρκίνος, κϛ' κζ' Λέων, κη' κθ' λ' Παρθένος.

Μηνὶ Ὀκτωβρίῳ α' β' Σκορπίος, γ' δ' ε' Τοξότης, ϛ' ζ' Αἰγόκερως, η' θ' ι' Ὑδροχόος, ια' ιβ' Ἰχθύς, ιγ' ιδ' ιε' Κριός, ιϛ' ιζ' Ταῦρος, ιη' ιθ' κ' Δίδυμος, κα' κβ' Καρκίνος, κγ' κδ' κε' Λέων, κϛ' κζ' Παρθένος, κη' κθ' λ' λα' Ζυγός.

Μηνὶ Νοεμβρίῳ α' β' Τοξότης, γ' δ' Αἰγόκερως, ε' ϛ' ζ' Ὑδροχόος, η' θ' ι' Ἰχθύς, ια' ιβ' Κριός, ιγ' ιδ' ιε' Ταῦρος, ιϛ' ιζ' Δίδυμος, ιη' ιθ' κ' Καρκίνος, κα' κβ' Λέων, κγ' κδ' κε' Παρθένος, κϛ' κζ' Ζυγός, κη' κθ' λ' Σκορπίος.

Μηνὶ Δεκεβρίῳ α' β' Αἰγόκερως, γ' δ' ε' Ὑδροχόος, ϛ' ζ' Ἰχθύες, η' θ' ι' Κριός, [f. 44] ια' ιβ' Ταῦρος, ιγ' ιδ' ιε' Δίδυμος, ιϛ' ιζ' Καρκίνος, ιη' ιθ' κ' Λέων, κα' κβ' Παρθένος, κγ' κδ' κε' Ζυγός, κϛ' κζ' Σκορπίος, κη' κθ' λ' λα' Τοξότης.

Μηνὶ Ἰανουαρίῳ α' β' Ὑδροχόος, γ' δ' ε' Ἰχθύς, ϛ' ζ' Κριός, η' θ' ι' Ταῦρος, ια' ιβ' Δίδυμος, ιγ' ιδ' ιε' Καρκίνος, ιϛ' ιζ' Λέων, ιη' ιθ' κ' Παρθένος, κα' κβ' Ζυγός, κγ' κδ' κε' Σκορπίος, κϛ' κζ' Τοξότης, κη' κθ' λ' λα' Αἰγόκερως.

13 ἰουλλίῳ cod. 25 post ζ', τοξότης scripserat librarius, quod verbum ipse expunxit. 37 ἰαννουαρίῳ cod.

Μηνὶ Φεβρουαρίῳ α' β' Ἰχθύες, γ' δ' ε' Κριός, ϛ' ζ' Ταῦρος, η' θ' ι' Δίδυμος, ια' ιβ' Καρκίνος, ιγ' ιδ' ιε' Λέων, ιϛ' ιζ' Παρθένος, ιη' ιθ' κ' Ζυγός, κα' κβ' Σκορπίος, κγ' κδ' Τοξότης, κε' κϛ' κζ' Αἰγόκερως, κη' κθ' Ὑδροχόος.

♈. Περὶ τῆς ἐν τῷ Κριῷ νυκτερινῆς βροντοσκοπίας. εἰ ἐν τῷ Κριῷ βροντήσῃ, μεγάλα ἐπικαινίσματα ἔσονται [κενὰ]· ἕκαστον εἰς τὰ ἴδια δηλοῖ [f. 44v] ἀπελθεῖν καὶ ἐν ταῖς ἰδίαις χώραις, καρπῶν δὲ ἐπίδειξιν τῶν μελλόντων κρείττονα. οἱ δὲ Βαβυλώνιοι γράφουσι βαρβάρους ἐπελθεῖν ταῖς πόλεσι καὶ πάντας φυγῇ χρήσασθαι τοὺς ἐνοικοῦντας καὶ μετὰ ταῦτα εἰς τὰ ἴδια ἐπιστρέψουσιν. Εὔδοξος δὲ γράφει ἐν τῇ ἀνατολῇ πεῖναν ἔσεσθαι καὶ εἰς τὰ θρέμματα θάνατον, κριθῆς δὲ καὶ ὀσπρίων ἐπίδειξιν. εἰ δὲ σεισμὸς γένηται, κατὰ τόπον φθορὰν σημαίνει.

♉. Εἰ ἐν Ταύρῳ βροντήσῃ, καθὼς Αἰγύπτιοι γράφουσι, πάντας τοὺς καρποὺς καλοὺς ἔσεσθαι σημαίνει μετὰ μεγάλου καμάτου, εἰς αὐτὴν δὲ τὴν ἐπαρχίαν καὶ μόνην οὗ ἐὰν βροντήσῃ. ἐν Αἰγύπτῳ δὲ καὶ Ἀραβίᾳ καὶ ἐν βαρβάροις πεῖναν δηλοῖ. Βαβυλώνιοι δὲ γράφουσι· φήμη τις γενήσεται ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὸν βασιλέα, νόσοι δὲ μεγάλοι ἔσονται ἐν τῇ πόλει. εἰ δὲ καὶ σεισμὸς γένηται, καύματα μεγάλα καὶ [f. 45] συνοχαὶ γενήσονται.

♒. Εἰ ἐν Διδύμῳ βροντήσῃ, καθὼς Αἰγύπτιοι γράφουσι, τῇ πόλει συμβήσεται θόρυβος καὶ νόσος· καρποὺς δὲ καλοὺς σημαίνει. ὡς δὲ Χαλδαῖοι γράφουσι, περὶ τοὺς βαρβάρους ἐστὶν ὁ θόρυβος. ὁ Εὔδοξός φησι χειμῶνα ** τὸν ἐπιόντα εὐθηνότερον. καὶ ἐστὶν ἱκανὸν σημαίνειν περὶ τὴν Ῥώμην. <ε>ἰ δὲ καὶ σεισμὸς γένηται, ταρασσέσθω οἱαδήποτε χώρα.

♋. Εἰ ἐν Καρκίνῳ βροντήσῃ, καθὼς Αἰγύπτιοι γράφουσι, καλοὺς καρποὺς δηλοῖ· περὶ δὲ τὰ θρέμματα θάνατοι. Βαβυλώνιοι δὲ γράφουσι καρποὺς καλοὺς γενέσθαι μετὰ καμάτους· περὶ δὲ τοὺς ἀνθρώπους οὐ μόνον νόσοι, ἀλλὰ καὶ λῃστεῖαι πολλαὶ ἔσονται· περὶ δὲ τοὺς μῆνας Μάρτιον καὶ Ἀπρίλλιον πολλὰ ὕδατα εἰς τὸν τόπον καὶ

1 μὴν, φευρουάριος cod. 5-8 haec est Aegyptiorum doctrina. 5-12 cf. *Catal.*, III, p. 25, 3-9. 6 κενὰ uncinis inclusi. 8 οἱ : εἰ cod. 9 φυγῇ coll. *Catal.*, III, p. 25, 6 scripsi : σφαγῇ cod. 10 ἐνοικοῦντας coll. ἐνοίκους *Catal.*, *loc. cit.* scripsi : ἐπικοῦντας cod. 10-12 cf. *Catal.*, VII, p. 164, 3-4. 10 ἔνδοξος cod. 11 πεῖνα cod. θάνατος cod. 12 ἐπίδειξις cod. 14-17 cf. *Catal.*, III, p. 25, 14-16. 17 πεῖνα cod. 19 deest Eudoxi doctrina, quam vide *Catal.*, VII, p. 164, 14 sqq. 19-20 cf. *Catal.*, IV, p. 170, 7. 21-22 cf. *Catal.*, III, p. 26, 2-4; VII, p. 164, 24-27. 21 pro Geminorum symbolo Aquarii symbolum inscitia librarius descripsit. 23-24 cf. *Catal.*, VII, p. 164, 27-28. 23 ἔνδοξος cod. 24 lacunam institui; v. *Catal.*, *loc. cit.*, χειμῶνες πολλοὶ καὶ εὐφορίαι. ἱκανὸν σημαίνειν dubitanter scripsi : ἱκανῷ σημαίνει cod. 25-26 cf. *Catal.*, IV, p. 170, 12-13. 25 οἱουδήποτε cod. 27-p. 196, 1 cf. *Catal.*, VII, p. 164, 35 - 165, 5. 27-28 cf. *Catal.*, III, p. 27, 16-17. 31 cf. *Geoponica*, ed. Beckh, p. 19, 18.

θάνατος [ἐνδόξων] ἀνθρώπων. <Εὔδοξος> καλοὺς καρποὺς γράφει· περὶ <δὲ> τὰ βόρεια μέρη καὶ μέγας [f. 45ᵛ] θόρυβος ἔσται. <ε>ἰ δὲ καὶ σεισμὸς γένηται, ἐριδισμὸς γένηται ἐλλογίμων ἀνδρῶν.

♌. Εἰ ἐν Λέοντι βροντήσῃ, καθὼς Αἰγύπτιοι γράφουσιν, ἰσότητα ἀποδείξει· καὶ ἐπὶ τοῖς ἀνθρώποις νόσοι, ἅμα δὲ καὶ λῃστεῖαι πολλαὶ γενήσονται περὶ πολλοὺς τόπους. Βαβυλώνιοι δὲ γράφουσι καρποὺς καλοὺς ἔσεσθαι καὶ πάντα λαμπρά. Εὔδοξος δὲ γράφει ὑπὸ νεφελῶν σαπρίαν ἔσεσθαι.

♍. Εἰ ἐν Παρθένῳ βροντήσῃ, καθὼς Αἰγύπτιοι γράφουσι, πᾶς δόλος βαρβάρων ἔσται· γενήσεται δὲ λοιμὸς περὶ τὰ μέρη τῆς Αἰγύπτου· καρποὶ δὲ καλοί. Βαβυλώνιοι δὲ γράφουσιν ὅτι οἱ φίλοι τοῦ βασιλέως αὐθεντεύσουσι, κίνδυνοι δὲ ἔσονται περὶ τὴν θάλασσαν, ἀνέμων δὲ ψύχη γενήσονται. <ε>ἰ δὲ καὶ σεισμὸς γένηται, πολλῶν νοσημάτων ἔσεσθαι συμβολὴν σημαίνει.

♎. Εἰ ἐν Ζυγῷ βροντήσῃ, καθὼς Αἰγύπτιοι γράφουσι, κινδύνους ἔσεσθαι σημαίνει καὶ ἀδελφὸν [f. 46] ἀδελφὸν σφάξαι· καὶ περὶ τὰς πηγὰς τῶν ὑδάτων λεῖψις. Βαβυλώνιοι δὲ γράφουσι· μεγάλοι πόλεμοι ἔσονται εἰς αὐτὴν τὴν πόλιν εἰς ἣν ἐβρόντησεν. Εὔδοξος δὲ γράφει πεῖναν μεγάλην ἔσεσθαι· καὶ οἱ ἄνθρωποι ἀπολοῦνται παρὰ βαρβάρων ἐπιδρομὴν καὶ τοὺς νεωτέρους καὶ τὰ κοράσια ἀπὸ τῶν βαρβάρων κατέχεσθαι καὶ περὶ τὴν οἰκουμένην καινὸν τίθεσθαι, ἅμα δὲ καὶ περὶ τὸν βασιλέα· καὶ νεφέλαι τοὺς καρποὺς κατενέγκωσι καὶ νόσοι περὶ τοὺς ἀνθρώπους ἔσονται. <ε>ἰ δὲ καὶ σεισμὸς γένηται, θανάτου ἀπειλή.

♏. Εἰ ἐν Σκορπίῳ βροντήσῃ, Αἰγύπτιοι γράφουσι πεῖναν ἔσεσθαι καὶ νόσους περὶ τοὺς ὀφθαλμούς. Χαλδαῖοι δὲ γράφουσι καθὼς ἄνω εἴρηται. ** χειμῶνα μέγαν εἶναι, καρποὺς δὲ καλοὺς κατὰ τόπον καὶ ἐν ᾧ ταῦτα ἔσονται· καὶ παῖδες ἐπὶ τοὺς γείτονας τοὺς ἰδίους ἐπιμοιχεύσωσι καὶ τοῖς ἑταίροις αὐτῶν ὑποπεσοῦνται· [f. 46ᵛ] ἐν δὲ τῇ βασι-

1 ἐνδόξων uncinis inclusi. Εὔδοξος inserui; v. enim quae congessit Boll, *Catal.*, VII, p. 163. 2 δὲ addidi et post γράφει interpunxi coll. *Catal.*, IV, p. 170, 18 ἀπὸ δὲ τῆς βορεινῆς ἀπειλή. 2-3 cf. *Catal.*, IV, p. 170, 19-20. 3 ἐλλογίμων Cumont: ἐκ λογίμων cod. 4-8 cf. *Catal.*, III, p. 26, 13-18. 5 ἀποδείξει coll. *Catal.*, *loc. cit.* scripsi: ἐπίδειξιν cod. 7-8 cf. *Catal.*, VII, p. 165, 16-17. 7 ἔνδοξος cod. ὑπὸ scripsi: ἐπὶ cod. 8 σαπρία cod. εἰ δὲ καὶ σεισμὸς etc. hic omissa *Catal.*, IV, p. 171, 2 invenies. 9-13 cf. *Catal.*, III, p. 26, 22-28. 10 an βαρβάρων <ἀνίσχυρος> coll. *Catal.*, III, p. 26, 22, scribendum est? λοιμὸς scripsi: λιμὸς cod. 12 cf. *Catal.*, IV, p. 171, 8; VII, p. 165, 25; *Geoponica*, p. 20, 2. 13 ἀνέμων... ψύχη: ἄνεμος καὶ ψῦχος *Catal.*, III, p. 26, 28. 13-14 cf. *Catal.*, IV, p. 171, 9-10. 14 συμβολὴν scripsi: συμβουλῇ cod. 15-23 cf. *Catal.*, III, p. 27, 4-11; VII, p. 166, 1-8. 15-16 cf. *Catal.*, IV, p. 171, 11-12. 16 καὶ ἀδελφὸς cod. 18 ἔνδοξος cod. a doctrina quam hic legis haud paucis locis dissentiunt quae in *Catal.*, VII, p. 166, 5-8 habentur. 19 πεῖνα μεγάλη cod. 21 κατέχοντα cod. cf. *Catal.*, IV, p. 171, 16. 23-24 cf. *Catal.*, IV, p. 171, 17. 25-p. 197, 1 cf. *Catal.*, III, p. 27, 29 - p. 28, 3. 25 πεῖνα cod. 26 νόσοι cod. 27 lacunam significavi; suppl. e. g. Εὔδοξος δὲ γράφει.

λευούσῃ πόλεμον ἄνευ σφαγῆς γενέσθαι. <ε>ἰ δὲ καὶ σεισμὸς γένηται, χαρὰ πολλὴ καὶ ἀγαθὰ πολλά.

♐. Εἰ ἐν Τοξότῃ βροντήσῃ, καθὼς Αἰγύπτιοι γράφουσι, πτώσεις καὶ θορύβους σημαίνει ἐν αὐτῇ τῇ πόλει, ἐν ᾗ ἐβρόντησεν· καρποὺς καλοὺς λέγει. Βαβυλώνιοι δὲ γράφουσί τινας τῆς συγκλήτου τῆς βασιλικῆς αὐλῆς ἀπολέσθαι. οἱ δὲ πειραταὶ οὐ τοσοῦτον βλάψουσι, μετὰ ταῦτα δὲ ξίφει ἀναιρεθήσονται καὶ ἔσται εὐθηνία εἰς ὅλον τὸν κόσμον. <ε>ἰ δὲ καὶ σεισμὸς γένηται, ποιμνίων καταφθορὰν καὶ ἀπειλὴν <σημαίνει>.

♑. Εἰ ἐν Αἰγοκέρῳ βροντήσῃ, καθὼς Αἰγύπτιοι γράφουσι, πτῶσιν καὶ ὁμιλίας κακὰς ἄγει· τὸ βασιλεῦον κράτος καὶ διὰ τὴν ἀμηχανίαν ἀπολέσει αὐτά· καὶ πλήθη ἀπὸ τῆς ἀνατολῆς ἐλθεῖν. ὃς κατέχει τὸν τόπον βασιλεύσει [f. 47]... Cetera desunt.

De nona sphaera.

Hoc capitulum, quod est de nona sphaera, ex byzantino opusculo excerptum esse videtur, cuius reliquias multi codices praebent (cf. supra p. 64, f. 60 sqq.; p. 80, f. 93 sqq.: p. 88, f. 47 sqq.). Quod capitulum codicibus Paris. S. gr. 684 [59]; f. 89; 1191 [61], f. 48; gr. 2669, saec. XVII, f. 298; Ital. 19, f. 15; Vindob. 1, f. 17 servari notum est.

[F. 48.] Περὶ τοῦ ἐνάτου οὐρανοῦ.

Ἔστι δὲ καὶ ἔνατος οὐρανὸς ὁ λεγόμενος ἄναστρος διὰ τὸ μὴ ἔχειν ἀστέρας. ἔστι δὲ καὶ ἐν αὐτῷ εἷς καὶ μόνος ἀστήρ, ὅμοιος ὄφεως καὶ αὐτὸς ὡραιόμορφος· περικυκλοῖ τὸν οὐρανὸν ἐκεῖνον ἀπὸ ἄκρου ἕως ἄκρου. γίνονται ἐν ἐκείνῳ ἐνέργειαι τέσσαραι· ποτὲ μὲν τὸ στόμα

1-2 cf. *Catal.*, IV, p. 171, 23-24. 3-7 cf. *Catal.*, III, p. 28, 8-14. 4-5 καρποῖς καλοῖς cod. 5 τινὲς cod. 6 πορaταὶ cod. 7 εὐθυνία cod.: εὐθυμίαι *Catal.*, III, p. 28, 13. 8-9 cf. *Catal.*, IV, p. 171, 30-31. 9 σημαίνει addidi. 10-13 cf. *Catal.*, III, p. 28, 19-22. 11 an διὰ μηχανῆς ut in *Catal.*, III, p. 28, 20.? 12 αὐτά, id est ὁμιλίαι κακαί. ὃς κατέχει etc.; haec est Chaldaeorum doctrina; cf. enim *Catal.*, III, p. 28, 21. κατέχει scripsi: κατέχεται cod. Paris. S. gr. 1191 = 61 [A] descripsi; Paris. S. gr. 684 = 59 [B], codici A proximum, contuli; Paris. gr. 2669 [C] contuli. 14 περὶ τῶν ἐνναίατὸν οὐρανόν B: περὶ τοῦ θ^ου οὐρανοῦ <τοῦ λεγομένου ἀνάστρου> C. 15 ἐναίάτος B. οὐρανὸς ὁ ex C scripsi: ὁ οὐρανὸς A: οὐρανός B. ἔχων B. 16 ἀστέρας: ἄστρα C. ἔστι: εἷς B. primum καὶ om. BC. 17 αὐτὸς ὡραιόμορφος: αὐτῶς ὡριὄμορφος B: ὁ αὐτὸς ὁ ὀμφιόμορφος ἀστὴρ C. ἄκρου: ἄκρον C. ἕως <ἄλλου> C: ἕως <ἄλου 1ª man. supra vers.> B. 18 <δὲ> ἐν BC. ἐκείνω <τῶ ἄστρω> C. ἐνέργιες δ' C: ἐνεργίες δ' B. ποτὲ μέν: α^ον μὲν C.

